# ΜΑΝΟΥΗΛ ΟΛΟΒΩΛΟΥ
# ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΜΙΧΑΗΛ Η΄ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

Ὁ ἀείμνηστος Σπ. Λάμπρος ἐδημοσίευσε λεπτομερῆ ἀναγραφὴν τῶν περιεχομένων ἐν τῷ Βιενναίῳ ἑλληνικῷ κώδικι φιλολ. καὶ φιλοσοφ. 321, ιγ΄ αἰῶνος, μεμβρανίνῳ, πολυμιγεῖ, προερχομένῳ ἐξ ἀγορᾶς ἐν Κωνσταντινουπόλει ὑπὸ τοῦ Αὐγ. Βουσβὲκ κατὰ τὸ 1555 ἔτος, ἀριθμήσας 80 κείμενα ἐπιστολῶν καὶ ποικίλων πραγματειῶν, ἀναπληρώσας, ὅπου ἦτο δυνατόν, τὰ ὀνόματα τῶν συγγραφέων, παραθεὶς τὴν ἀρχοτέλειαν ἑκάστου ἔργου καὶ διασαφήσας ἔνια τῶν ὑπ᾽ αὐτοῦ καὶ ἄλλων ἀπὸ τοῦ κώδικος τούτου ἐκδοθέντων ἢ ἀνεκδότων κειμένων· κατὰ ταῦτα ὑπ᾽ ἀριθ. 49 (Κώδ. φ. 127$^α$) σῴζεται «τοῦ Ὀλοβώλου λόγος» κτλ.· ὑπ᾽ ἀριθ. 50 (Κώδ. φ. 135$^β$) «τοῦ αὐτοῦ στίχοι»· τὸ ὑπ᾽ ἀριθ. 51 (κώδ. φ. 136$^α$) οὔτε συγγραφέα οὔτε τίτλον φέρει ἐν τῷ κώδικι· ὁ Λάμπρος ἀμφιβάλλων λέγει· «τοῦ αὐτοῦ; λόγος ἀνεπίγραφος· ὑπ᾽ ἀριθ. 52 (κώδ. φ. 141$^β$) φέρεται «τοῦ αὐτοῦ· ἐπιστολὴ κτλ· τὸ ὑπ᾽ ἀριθ. 53 (κώδ. φ. 143$^β$) ἐπίσης οὔτε συγγραφέα οὔτε τίτλον φέρει· δι᾽ ὃ ὁ Λάμπρος λέγει, «᾿Αδήλου λόγος ἀνεπίγραφος».[1]

Εὐγενεῖ προθυμίᾳ τοῦ κ. Bick, διευθυντοῦ τῆς ἤδη ᾿Εθνικῆς Βιβλιοθήκης ἐν Βιέννῃ, ᾧ εὐγνωμονοῦντες χάριτας ὁμολογοῦμεν, ἔχοντες ὑπ᾽ ὄψιν ἀντίγραφα φωτογραφικὰ τῶν ἀνωτέρω κειμένων, συμπληροῦμεν ἐν πρώτοις τὴν περιγραφὴν αὐτῶν. Τὸ ἐν φ. 127$^α$ — 135$^β$ (ἀριθ. 49), καθὰ μαρτυρεῖ ὁ ἐν τῷ κώδικι τίτλος, συνετάχθη ὑπὸ τοῦ Ὀλοβώλου, τοῦ σοφοῦ ἐκείνου διδασκάλου, τοῦ Μανουήλ, τοῦ ἐν μοναχοῖς βραδύτερον Μαξίμου, ὡς ἀπὸ μέρους τοῦ κατὰ Μάϊον τοῦ 1265 ἔτους ἐκλεγέντος Οἰκουμενικοῦ Πατριάρχου Γερμανοῦ Γ΄ ἀπὸ ᾿Αδριανουπόλεως, εἰς τὴν βιογραφίαν τοῦ ὁποίου ἀσχολούμεθα. Τοὺς ἐν φ. 135$^β$ στίχους ὁ κῶδιξ λέγει «τοῦ αὐτοῦ», ἄρα τοῦ Ὀλοβώλου· τούτους ἐντεῦθεν ἐξέδωκεν ὁ Max. Treu[2] παραλείψας ἕνα στίχον, ἀποτελούμενον ἀπὸ τοῦ τέλους τοῦ προηγουμένου καὶ τῆς ἀρχῆς τοῦ ἑπομένου στίχου· ἡ παραδρομὴ ὀφείλεται εἰς τὴν ὁμοιολεξίαν τῶν στίχων· διὰ τοῦτο, καὶ διὰ τὴν ἀπορίαν τοῦ Treu περὶ μιᾶς λέξεως, ἀναδημοσιεύομεν τοὺς ἐν λόγῳ στίχους, τὰς διαφορὰς δεικνύοντες διὰ παχέων γραμμάτων.

---

[1] Νέος ῾Ελληνομνήμων τόμ. ΙΓ΄ (᾿Αθῆν. 1916) σ. 2—22.

[2] Byzant. Zeitschr. V, (Leipzig 1896) σ. 546.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

*† Τοῦ αὐτοῦ· Στίχοι πρὸς τὸν ἅγιον ἡμῶν βασιλέα*
*κατὰ τὴν ἑορτὴν τῶν Φώτων, εἰς τὴν πρόκυψιν. †*

*† Πρὸς ὕδωρ λέγειν ῥήτορας ἔκειτο πάλαι νόμος·*
*πρὸς ὕδωρ γράφειν ῥήτορας πάρεστιν ἄρτι βλέπειν*
*πρὸς ὕδωρ τοῦ βαπτίσματος Χριστοῦ τῶν λουτηρίων*
*πρὸς ὕδωρ τῶν ἱδρώτων τε Σοῦ τοῦ Χ(ριστο)ῦ Κυρίου* [1]
*οὓς καταχεῖς ὑπερμαχῶν τοῦ χριστωνύμου λάχους,*
*μεγασθενές, μεγακλεές, ὑψίνου, στεφηφόρε.*
*Εἰ δὲ τὸ γράφειν καθ' ὑγρῶν* **ἐπ' ἀδυνάτοις κεῖται,**
**τὸ γράφειν οὕτω καθ' ὑγρῶν,** *τοῖς ῥήτορσιν οὐ ξένον.*
*Ἂν ὕδωρ δὶς εἰς τὸ αὐτὸ ῥεύματος ποταμίου*
*βάπτειν οὐκ ἔστι ὁπωσοῦν, πλὴν ἅμα τοὐναντίον,*
*βάλλειν εἰς δύο ποταμοὺς οὐδὲν τῶν ἀδυνάτων,*
*εἰς Ἰορδάνην καὶ πρὸς Σέ, τὸν ποταμὸν Κ(υρίο)υ,*
*τὸν ῥεύμασι παντοδαποῖς Σῶν, ἄναξ, χαρισμάτων*
*τὴν πόλιν ἐπευφραίνοντα* **Θεοῦ,** [2] *τὴν Ῥωμαΐδα,*
*καὶ ξύμπασαν σβεννύοντα βαρβάρων πανσπερμίαν,*
*βρέμουσαν πάντη καθ' ἡμῶν, δίκην πυρὸς ἀσχέτου.*
*Φυλάττοιτό Σοι τοιγαροῦν τὸ κράτος, αὐτοκρά***τορ,** [3]
*σὺν τῷ παιδὶ καὶ βασιλεῖ παρὰ Χριστοῦ Κυρίου,*
*ἐς ὅσον ἂν εἶ δυνατὸν ᾖ τρέχων Ἰορδάνης.*

*Τέλος.*

Τοῦ ἐν φ. 136α —141β ἔργου συγγραφέα λέγομεν ἄνευ ἀμφιβολίας τὸν Ὁλόβωλον, καὶ τίτλον δίδομεν τὸν ὑπ' αὐτοῦ τοῦ συγγραφέως ἐν τῷ προοιμίῳ διδόμενον, «Ἐγκώμιον», ἀποτεινόμενον εἰς τὸν αὐτοκράτορα Μιχαὴλ Η΄ τὸν Παλαιολόγον (1259 - 1282). Ὁ τοῦ κώδικος γραφεὺς παραλείπει ὡς ἐπὶ τὸ πολὺ τὴν ἐπαναληπτικὴν ὑπόδειξιν ἐν τῇ ἀρχῇ ἑκάστου τῶν ἐν συνεχείᾳ προβαινόντων ἔργων τοῦ αὐτοῦ συγγραφέως διὰ τῆς κτητικῆς ἀντωνυμίας «τοῦ αὐτοῦ», ὡς γίνεται τοῦτο κατάδηλον ἐκ τῆς ὑπὸ τοῦ Λάμπρου ἀναγραφῆς τῶν περιεχομένων τοῦ κώδικος· τὸ «ἐγκώμιον» ἄλλως τε εὑρίσκεται ἀκριβῶς ἀναμέσον δύο ἔργων, ἅτινα ὑποδεικνύονται ὡς ὄντα «τοῦ αὐτοῦ», τοῦ Ὁλοβώλου· εἰς τὸ ὕφος δὲ καὶ τὴν πομπώδη γλῶσσαν τοῦ ἐγκωμίου ἀσφαλῶς ἀναγνωρίζομεν τὸν Ὁλόβωλον, καὶ τὴν αὐστηρὰν μέν, δικαίαν ὅμως κατάκρισιν αὐτοῦ ὑπὸ τοῦ Κρουμπάχερ.[4] Πρὸς τούτοις νομίζομεν ὅτι ὁ τοῦ

[1] Ἐν τῇ φῳ. Χριστοῦ.
[2] Τ. πᾶσαν;
[3] Τ. τωρ
[4] Ἱστορ. Βυζαντ. λογοτεχνίας, (Ἀθῆναι 1900) τ. Β΄ σ. 744.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

κώδικος γραφεύς, σύγχρονος τοῦ ἐγκωμιάζοντος καὶ τοῦ ἐγκωμιαζομένου, δυσμενῶς πιθανῶς πρὸς ἀμφοτέρους διακείμενος, φωρᾶται ἀγανακτήσας διὰ τὰς ἐν αὐτῷ ὑπερβολὰς καὶ κολακείας, καὶ διὰ τοῦτο οὐδὲ συγγραφέα, οὐδὲ τίτλον ἐμνημόνευσεν· εἰς ἱκανοποίησιν δὲ ἑαυτοῦ καὶ τοῦ ἀναγνώστου ἠρκέσθη εἰς τὴν παράθεσιν ἐν τῷ τελευταίῳ φύλλῳ τοῦ ἐγκωμίου παραινετικῶν τινων καὶ συμβουλευτικῶν ἀποφθεγμάτων, λίαν ἐκφραστικῶν· τούτων τὸ μὲν εἰς τὰ ἄνω τῆς ἀριστερᾶς καθέτου ᾤας εἰς δύο γραμμὰς ἔχει οὕτω:

*Τί σε χρὴ τοῖον ἐόντα μαψιδίως ψεύδεσθαι ;*
*Μηκέτι μοι ψεύδεσσι χαρίζεο, μηδέ τι θέλγε.*

τὸ δ' ἄλλο ἐν τῇ κάτω ὁριζοντίῳ ᾤᾳ: ὅθεν γὰρ ἀπώλετο λόγος, ἐκεῖ καὶ φήμη καὶ δρᾶσις τῆς ἀλογίας ἐνέσκηψεν· ὅθεν ἀρετὴ ἀπελήλαται, τὸ τῆς κακίας ἔργον διά . . . ἔπεισπε . . . Ἀκατάληπτοι αἱ τελευταῖαι λέξεις.

Τῆς ἐν φ. 141β — 143β ἐπιστολῆς τοῦ αὐτοκράτορος Μιχαὴλ Η΄ τοῦ Παλαιολόγου περὶ ἑνώσεως τῶν ἐκκλησιῶν πρὸς τὸν πάπαν Κλήμεντα Δ΄ συντάκτης λέγεται ὑπὸ τοῦ γραφέως τοῦ κώδικος ὁ Ὁλόβωλος («τοῦ αὐτοῦ»). Τὸ κείμενον αὐτῆς ἐξέδωκε σχολιάσας ὁ N. Festa ἀπὸ τοῦ κώδικος τούτου ἐν τῷ περιοδικῷ Bessarione, τόμ. 6 Roma 1899, σ. 42 - 57. Καθ' ἡμᾶς χρόνος τῆς συντάξεως τὸ φθινόπωρον τοῦ 1266 εἶναι μᾶλλον ἢ ὁ Φεβρουάριος τοῦ 1267. Καὶ τὸ ἐν φ. 143β — 150α ἔργον, ἀδήλου συγγραφέως καὶ τίτλου, ὃν δέ, ὡς ἐν τῷ προοιμίῳ ἀναγινώσκομεν, «παρακλητικὴ παραίνεσις καὶ πνευματικὴ σωτηριώδης εἰσήγησις» ἀποδίδομεν εἰς τὸν Ὁλόβωλον, τοῦ γραφέως μὴ ἐπαναλαβόντος καὶ ἐνταῦθα τὸ «τοῦ αὐτοῦ». Εἶναι δὲ ὁμιλία περὶ τῆς νηστείας τῆς μεγάλης Τεσσαρακοστῆς.

Περὶ τοῦ βίου καὶ τῶν συγγραμμάτων τοῦ Μανουὴλ Ὁλοβώλου, καὶ τῶν ἐκδόσεων αὐτῶν ὁ βουλόμενος εἰδήσεις εὑρίσκει εἰς τὴν διατριβὴν τοῦ Max. Treu ἐν σελ. 538 - 559 τοῦ V τόμου τῆς Byzantinische Zeitschrift, Leipzig 1896, καὶ εἰς τὴν Ἱστορίαν τῆς Βυζαντ. Λογοτεχνίας τοῦ Κρουμπάχερ (μετάφρ. Σωτηριάδου), τόμ. Β΄ σ. 742 - 746. Εἰς τὰ πεζὰ δὲ συγγράμματα αὐτοῦ προσθετέα καὶ τὰ ἐν τῷ κώδικι τούτῳ σῳζόμενα, ὧν οὐδενὸς μνείαν οὗτοι ἔχουσι. Μοναχὸς γενόμενος καὶ Μάξιμος μετονομασθεὶς προήχθη εἰς τὸν βαθμὸν Μεγάλου πρωτοσυγκέλλου· τότε συνέταξε τοὺς στίχους «εἰς τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν», ἐκδοθέντας ὑπὸ τοῦ Miller ἀπὸ τοῦ Coisl. κώδικος 192, ιδ΄ αἰῶνος, ἐν σελ. 373 - 375 τοῦ II τόμου τῶν Carmina Manuel Philes, Paris 1857, τίτλον φέροντας «τοῦ σοφωτάτου μεγάλου πρωτοσυγκέλλου κυροῦ Μαξίμου τοῦ Ὁλοβόλου...». Ἐν ἐπαναλήψει τῶν στίχων ἀλλαχοῦ τοῦ αὐτοῦ κώδικος ὁ γραφεὺς προσέθηκεν εἰς τὸν ἄνω τίτλον «τοῦ μακαρίτου καὶ σοφωτάτου» κτλ. Ἐν δὲ τῷ Ἀμβροσιανῷ Κώδικι 121, ἐπίσης ιδ΄ αἰῶνος, σῴζεται πραγματεία περὶ μέτρων, συγγραφεῖσα καθ' ὃν χρόνον ὁ Ὁλόβωλος, διδάσκαλος καὶ κοσμικὸς ὤν, ἐκαλεῖτο Μανουήλ· ὁ ἀντι-

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

γραφεὺς γνωρίζων προφανῶς τὸ κληρικὸν αὐτοῦ ἀξίωμα, προσέθηκεν αὐτὸ εἰς τὸν τίτλον μὴ μεταβαλὼν τὸ κοσμικὸν ὄνομα· ἔχει ὅθεν ὁ τίτλος οὕτω: «τοῦ Ὁλοβώλου ῥήτορος κυροῦ Μανουὴλ καὶ μεγάλου πρωτοσυ*γγέλου*».[1] Ὁ ἐν τῷ διαλόγῳ «Μάζαρις» ὁμώνυμος Μανουὴλ Ὁλόβωλος εἶναι κατὰ δύο σχεδὸν αἰῶνας μεταγενέστερος, καὶ περὶ τούτου ὁ Max. Treu ἐδημοσίευσε διατριβὴν «Mazaris und Holobolos» ἐν σελ. 86-93 τοῦ Α΄ τόμου (1891) τοῦ περιοδικοῦ Byzantinische Zeitschrift.

Ὡς πάντα τοῦ Ὁλοβώλου τὰ ἔργα καὶ τὸ κατωτέρω ἐγκώμιον μαρτυρεῖ «τοῦ διδασκάλου τῆς λογικῆς ἐπιστήμης» (Παχυμέρης εἰς Μιχ. Δ΄, 14) τὴν πολυμάθειαν καὶ τὴν εὐρεῖαν γνῶσιν τῆς τε ἱερᾶς καὶ τῆς θύραθεν σοφίας. Ὡς χρόνον τῆς συγγραφῆς ἢ καὶ τῆς ἐκφωνήσεως τοῦ ἐγκωμίου δεχόμεθα τὸν μετὰ τὴν 8 Νοεμβρίου 1272, ὅτε ὁ Μιχαὴλ ἔστεψε συμβασιλέα τὸν υἱὸν αὐτοῦ Ἀνδρόνικον, ἀφοῦ ὁ Ὁλόβωλος καταλήγων ἀποκαλεῖ καὶ αὐτὸν βασιλέα καὶ εἰς ἀμφοτέρους τὸ συνάρχειν εὔχεται.

Τὰ ἐν τῷ ἐγκωμίῳ ἱστορικὰ γεγονότα, ἀπογυμνούμενα τῶν πομπωδῶν καὶ φαντασιωδῶν φράσεων, τῶν ὑπερβολῶν καὶ αὐλικῶν κολακειῶν, ἀναφέρονται εἰς τὴν τεχνηέντως κολαζομένην φυγὴν τοῦ Μιχαήλ, διοικητοῦ ὄντος τῆς ἐπαρχίας τῆς Νικαίας, πρὸς τὸν Σουλτάνον τοῦ Ἰκονίου τῷ 1258· εἰς τὴν ἐν Πελαγονείᾳ, κατ᾿ Αὔγουστον τοῦ 1259 (Ducange, Hist. de C/ple, V, § 16) περιφανῆ νίκην τοῦ Μιχαήλ, βασιλέως ἤδη, κατὰ τῶν Λατίνων τῆς Πελοποννήσου καὶ τὴν αἰχμαλωσίαν τοῦ πρίγκιπος τῆς Ἀχαΐας, περὶ ἧς παραπέμπομεν τὸν ἀναγνώστην εἰς τὴν περιγραφὴν αὐτῆς ὑπὸ τοῦ W. Miller (Ἡ Φραγκοκρατία ἐν Ἑλλάδι, μετάφρασις Σπ. Λάμπρου, ἐν Ἀθ., 1909, τ. Α΄, σ. 161-164) καὶ εἰς τὴν συνθήκην, τὴν συναφθεῖσαν μετὰ τῶν Γενουϊτῶν καὶ ὑπογραφεῖσαν τῇ 13 Μαρτίου 1261 (Heyd, Hist. du commerce du Levant au moyen-âge, Leipzig, 1885 τ. I. σ. 428).

Ἡ ἐξ ἀφορμῆς αὐτῆς προσφορὰ τοῦ Μιχαὴλ εἰς τὴν πόλιν τῆς Γενούης τῶν δύο πέπλων, χρήζει διασαφήσεών τινων, ἰδίᾳ ὁ τὸ τοῦ ἁγίου Λαυρεντίου μαρτύριον παριστῶν πέπλος.

Παράδοσις λέγει τὸν ἐν Γενούῃ ναὸν τοῦ ἁγίου Λαυρεντίου (San Lorenzo) ἐγερθέντα κατὰ τὸν γ΄ αἰῶνα, καὶ δῆθεν ἐν ᾧ τόπῳ ὁ ἅγιος ὑπέστη τὸ μαρτύριον τῷ 260 ἔτει·[2] νομίζομεν ὅτι ἡ παράδοσις αὕτη προῆλθεν ἀπὸ τῆς ἐν ἀναγλύφῳ παραστάσεως, ὕπερθεν τῆς μεγάλης θύρας τοῦ ναοῦ, τοῦ διὰ πυρὸς ἐπ᾿ ἐσχάρας μαρτυρίου τοῦ ἁγίου. Τὰ Συναξάρια ὅμως τόπον μαρτυρίου λέγουσι τὴν Ῥώμην, καὶ σὺν τῷ Λαυρεντίῳ μαρτυρήσαντας κατά τινα μὲν τῇ 6 Αὐγούστου τοῦ 259 τέσσαρας διακόνους καὶ

---

[1] Martini et Bassi, Catal. Cod. Graec. Bibl. Ambrosianae, Mediolani 1906, τ. I. σ. 121.

[2] Joseph Caccia, Guide en Italie σ. 304.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

δύο ὑποδιακόνους,[1] κατ᾽ ἄλλα δὲ τῇ 10 Αὐγούστου τοῦ 260 ἔτους Κλαύδιον ὑποδιάκονον, Σεβῆρον ἱερέα, Κρεσέντιον ἀναγνώστην καὶ Ρωμανὸν ὀστιάριον, τρεῖς ἡμέρας μετὰ τὸ μαρτύριον τοῦ ἐξ Ἀθηνῶν καὶ ἐκ φιλοσόφων καταγομένου Ξύστου Β΄ πάπα Ρώμης, οὗ ὁ Λαυρέντιος ἀρχιδιάκονος ἦτο.[2] Ἡ ἐκκλησία δὲ γεραίρει τῇ 10 Αὐγούστου τὴν μνήμην τῶν μαρτύρων Λαυρεντίου, Ξύστου πάπα Ρώμης καὶ Ἱππολύτου, τοῦ κηδεύσαντος καὶ θάψαντος τὸν Λαυρέντιον ἔξω τῶν τειχῶν, ἔνθα ἠγέρθη Βασιλική, καὶ σήμερον οὖσα γνωστὴ ὡς «San Lorenzo ἡ ἔξω τῶν τειχῶν»· ἐν τοῖς Μηναίοις οἱ ἑπόμενοι στίχοι προτάσσονται τοῦ συναξαρίου αὐτῶν:

*Τὸν Λαυρέντιον λαύρακα Χριστοῦ λέγω,*
*ἐπ᾽ ἐσχάρας ἄνθραξιν ἐξωπτημένον.*
*Τέλους ἀθλητῶν καὶ κλέους τυχεῖν θέλων,*
*ἤθλησας ἆθλον, Ξύστε τὸν διὰ ξίφους.*
*Τὸν Ἱππόλυτον ἱπποδέσμιον βλέπω,*
*ἐναντίον πάσχοντα τῇ κλήσει πάθος.*
*Ὤπτησαν δεκάτῃ Λαυρέντιον ἠΰτε ἰχθύν.*

Ἡ χρονολογία τῆς ἀνεγέρσεως τοῦ ἐν Γενούῃ ναοῦ τοῦ ἁγίου Λαυρεντίου ἀγνοεῖται· θετικωτέρα λέγεται ἡ ἐν ἔτει 985 οἰκοδομὴ αὐτοῦ ὡς καθεδρικοῦ· ἡ ἀπεικόνισις λοιπὸν τοῦ μαρτυρίου τοῦ ἁγίου Λαυρεντίου καὶ τῶν σὺν αὐτῷ εἰς τὸν δωρηθέντα πέπλον τῇ πόλει τῆς Γενούης ὀφείλεται εἰς τὸ ὅτι ὁ καθεδρικὸς αὐτῆς ναὸς ἐτιμᾶτο εἰς τὴν μνήμην τοῦ ἁγίου τούτου. Ὡς ἀναγινώσκομεν δὲ εἴς τινα ὁδηγὸν τῆς Γενούης (guida di Genova), οἱ Γενοβέζοι ἔχουσι προσφιλέστατον καὶ δημοφιλέστατον τὸν ναὸν τοῦ ἁγίου Λαυρεντίου, διότι μετ᾽ αὐτοῦ συνδέονται πολλὰ γεγονότα διαφόρων ἐποχῶν ἀναγόμενα εἰς τὴν ἱστορίαν τῆς πίστεως, τῆς πατρίδος καὶ τῆς τέχνης αὐτῶν· ἐν τῷ ναῷ τούτῳ ἐγένοντο αἱ συνεδρίαι τοῦ Βουλευτηρίου, αἱ πολιτικαὶ συζητήσεις, τὰ σπουδαιότερα νομοθετικὰ διατάγματα, ἐν ἑνὶ λόγῳ πᾶν ὅ,τι ποιητικώτερον, ἐνδοξότερον, ἀλλὰ καὶ θλιβερώτερον ὑπῆρξε διὰ τὸν περιφανῆ τῆς πόλεως ταύτης λαόν, ἐν τῷ κτιρίῳ τούτῳ ἐγένετο». Ἀναμφιβόλως ἔνια τῶν γεγονότων τούτων ἀνήκουσιν εἰς τοὺς μεταγενεστέρους χρόνους τοῦ Μιχαήλ· τὸν σεβασμὸν δὲ τῶν Γενοβέζων πρὸς τὸν ναὸν τὸν προελθόντα ἐκ τῶν εἰς προηγηθέντας αἰῶνας ἀναγομένων γεγονότων συνεμερίσθη ὁ Μιχαήλ, δωρησάμενος αὐτῷ πέπλον, εἰκονίζοντα τὰς διαφόρους σκηνὰς τοῦ μαρτυρίου τοῦ ἁγίου, καὶ οὕτω τιμήσας τὰς παραδόσεις τῆς συμμάχου δημοκρατίας. Εὐτυχῶς δὲ ὁ πέπλος οὗτος σῴζεται καὶ ὡς ἑξῆς περιγράφεται ὑπὸ εἰδικοῦ ἐπιστήμονος:

[1] Panvinius, La Cronologia ecclesiastica, (Venet. 1663), σ. 41.

[2] Le vite dei Pontifici Romani del Platina, (Venet. 1663) σ. 54. — Οὗτος ἀντέγραψε τὸν Ἀναστ. Βιβλιοθηκάριον.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

«Εἰς αἴθουσαν τοῦ Palazzo Bianco (ἐν Γενούῃ) ἐκτεθειμένον εὑρίσκεται πάλλιον βυζαντινόν, δωρηθὲν τῇ Δημοκρατίᾳ τῆς Γενούης περὶ τὸ 1270 ἔτος ὑπὸ τοῦ ἐν Γαλατᾷ κομμουνίου τῶν Γενουηνσίων, εἴτε ὑπὸ τοῦ Μιχαὴλ Παλαιολόγου· εἶναι δὲ μακρὰ ταινία (bande) ἐκ μετάξης πορφυρᾶς, χρυσοκεντήτους ἔχουσα τὰς σκηνὰς τῶν μαρτυρίων τοῦ ἁγίου Λαυρεντίου, Ξύστου καὶ Ἱππολύτου· ὁ Λαυρέντιος εἰσάγει εἰς τὸν καθεδρικὸν ναὸν τὸν Μιχαὴλ Παλαιολόγον. Ἡ ἀφθονία τῶν ἀποχρώσεων προσδίδει εἰς πάσας τὰς ἀφελοῦς διαγραφῆς εἰκόνας ταύτας ζωηρὰν αἴγλην, μόλις ὑπὸ τοῦ χρόνου βλαβεῖσαν, ἀντανακλῶσαν δὲ εἰς τὰ βλέμματα ἡμῶν ἀκόμη καὶ τώρα τὴν ἀνατολικὴν ἐπίδειξιν τοῦ Ἑλληνικοῦ Βυζαντίου». [1]

Ἐμμέσως ἀποταθέντες εἰς τὸ Μουσεῖον τοῦ Palazzo Bianco ἐπληροφορήθημεν ὅτι περὶ τοῦ πέπλου τούτου σπουδαῖον λόγον ἔχει κάμει ὁ Μαρκήσιος Ἱερώνυμος Serra 1761-1837 τῷ 1810, ὡς ὁ βιογραφήσας αὐτὸν Belgrano λέγει· τῷ 1846 ὁ Luigi Cibrario ἐν τῇ Guyanes ἐφημερίδι τῆς Πάδοβας· τῷ 1853 ὁ Banchero, ἐκδοὺς καὶ λιθογραφικὴν εἰκόνα ἐν Γενεύῃ· τῷ 1922 ἐξέδωκε φωτογραφικὴν εἰκόνα τοῦ πέπλου ἐν Λευκώματι ὑπὸ τὸν τίτλον «Genova, Storia-arte», διανεμηθέντι εἰς τοὺς ἀντιπροσώπους τοῦ ἐν τῇ πόλει ταύτῃ συνελθόντος Διεθνοῦς Συνεδρίου, ἐν ᾗ αἱ ἐπιγραφαὶ ἀμυδρῶς φαίνονται· μία ἐξ αὐτῶν διαλαμβάνει τὰ ἑξῆς: «S. Laurentius induces altisimum Imperatorem Graecorum Dominum Michalem Ducam Angelum Comnenum Palaeologum in Ecclesiam Januensium» [2].

Ἐκ τοῦ «Ἐγκωμίου» τοῦ Ὁλοβώλου ἐπληροφορήθημεν ἤδη, ὅτι δωρητὴς μὲν ἐγένετο ὁ Μιχαὴλ Παλαιολόγος, ὁ δὲ χρόνος, ὁ τῆς ὑπογραφῆς τῆς ἐν Νυμφαίῳ συνθήκης, ἤτοι τὸ πρῶτον ἑξάμηνον τοῦ 1261 ἔτους. Ἔχομεν λοιπὸν μίαν ἔτι εἰκόνα τοῦ αὐτοκράτορος τούτου, προσθετέαν εἰς τὰς ἤδη ἐγνωσμένας, [3] πιστοτέραν δὲ τὴν εἰς τὸν ἕτερον πέπλον, ἐὰν καὶ αὐτὸς σῴζεταί που ἄγνωστος καὶ παρηγκωνισμένος.

[1] Jean de Foville, Gênes, (Paris, 1907) p. 38. [Les villes d'art célèbres, édit. H. Laurens].

[2] Τὰς πληροφορίας παρέσχεν ἡμῖν ὁ κ. Tommaso Bertelè α΄ γραμματεὺς τῆς ἐνταῦθα Ἰταλικῆς πρεσβείας, ᾧ καὶ ὁμολογοῦμεν ἀπείρους εὐχαριστίας. Θερμὰς ἐπίσης ἀπὸ τοῦ χώρου τούτου ἀπευθύνομεν εὐχαριστίας καὶ πρὸς τὸν Διευθυντὴν τοῦ Municipio di Genova κ. Orlando Grosso διὰ τὴν ἀποστολὴν φωτογραφίας τοῦ περὶ οὗ ὁ λόγος πέπλου, ὡς καὶ τοῦ λευκώματος, ἐν ᾧ οὗτος ἀπεικονίζεται, ἐξ οὗ καὶ παρελάβομεν τὴν ἐν τῇ διατριβῇ μας παρατιθεμένην εἰκόνα.

[3] Spyr. P. Lambros, Empereurs byzantins catalogue..... (Athènes, 1911) p. 47, Nº 379-381. Ἀγνοοῦμεν ἐὰν ἀνήκῃ εἰς αὐτὰς ἡ εἰκὼν τοῦ Μιχαήλ, ἣν ἀπὸ τοῦ Likatchef ἀνεδημοσίευσεν ὁ Chapman ἐν τῷ ἔργῳ του Michel Paléologue, Paris, 1926.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

Cod. Vindob. Philol. 321.

Βασιλεῦ, αὐτοκράτορ, θεομεγάλυντε. Ἔθος ἀρχαῖον τοῦτο καὶ παλαιαῖς ἀνάγραπτον κύρβεσι, τοὺς ὑπηκόους εὐγνωμόνως εἰσφέρειν τῷ βασιλεῖ· τοῦτο γὰρ ἅτε καλῶς ἔχον καὶ τοῖς εὖ φρονοῦσιν ἐπαινετόν· μακροὺς δ' ἐλάσαν χρόνους, φθάνει νεάζον ἄχρι καὶ νῦν· ἔνθεν ὁ μὲν πρόσεισι χρυσόν, ὁ δ' ἄργυρον, λίθον ἐκεῖνος τῶν ἐριτίμων, ἁλουργῆ χλαῖναν ἄλλος καὶ καταμάργαρον, καὶ ἕτερος ἕτερον, καὶ ἁπλῶς ἕκαστος ὅπερ ἔχει δυνάμεως περιστατικῶς τῆς σφῶν αὐτῶν προαιρέσεως. Ἔσχε κράτος ὁ νόμος οὗτος, καὶ κατὰ τῶν βίβλοις ἐσχολακότων καὶ βίον πάντα πεποιηκότων τὴν περὶ λόγους σπουδήν, καὶ τούτων μᾶλλον, οὓς ἐμαίευσεν ἡ τοκὰς καὶ πυρίπνους ῥητορική, καὶ στόμα τούτοις πλημμυρεῖν λόγους ἀνῆκε, καὶ πλέκειν λόγους ἀφῆκε, κοσμοῦντας ἔργα βασιλέων μεγαλουργῶν. Ὑφαίνουσι τοίνυν καὶ οὗτοι πέπλον ἐξ ὑφαντικῆς ἀρτίου,[1] ὕλην ἐκείνην συλλέγοντες, ἣν ἐδημιούργησαν Μοῦσαι καὶ ὁ σοφὸς μεταλλευτὴς καὶ ἐφευρέτης Ἑρμῆς, καὶ ὅσα χιτῶνα τὸν πέπλον ἀποτελοῦσι πολυτελῆ καὶ ὄντως βασιλικόν, ὑπόθεσιν αὐτῷ διαγράφοντες, πράξεις μεγάλας ἡρωϊκάς, κατορθώσεις εἰρηνικάς, εὐνομίας πολιτικάς, πολέμων ἐνίοτε συμπλοκάς, τὸ στίλβον τιθέντες τῶν νοημάτων, ὡς χρυσίον εὔροιζον, τιμαλφές, τὸ τῆς λέξεως ἄνθος, κατὰ πολύχρουν λίθον χαρίεσσαν εὐανθῆ, τὰς τῶν περιόδων ἀποτορνεύσεις, τὰς τῶν κύκλων ἀπογυρώσεις,[2] τὸ τῆς φράσεως στρογγύλον, τὸ καθαρὸν τῆς συνθήκης καὶ εὐκρινές, ὅσα καὶ μαργάρους καταλεύκους καὶ διαυγεῖς, εἶθ' οὕτω προσφέρουσι τούτους δῶρον τῷ βασιλεῖ, τὸ κάλλιστον ὧν ἔχουσι πάντων καὶ βασιλείῳ περιωπῇ πρεπωδέστατον, καὶ ὑπὲρ ἐκεῖνον πάντως τὸν πέπλον, ὃν ἐπέτειον ηὐτούργουν Αἰνειάδαι τὸ πρίν, χρεὼν γὰρ πιστεύειν τοῖς συγγραφεῦσι καὶ μᾶλλον οἷς πρὸς τὸ ἄρχειν ὑπηκόων ὑπαγορεύουσιν εὔνοιαν, καὶ εἰς ἐσθῆτας τοῖς πάλαι μετεσκεύαζον αὐτοκράτορσιν, ἐν ᾧ καὶ πάντα φασὶν ὑφαντικαῖς μεθόδοις ἱστουργεῖτο, ἅπερ ἐκείνοις χρόνον ἕκαστον κεκατόρθωτο, πόλεις αἱ μὲν ἀνιστάμεναι, ἄλλαι καταβαλλόμεναι· καὶ βασιλεὺς ἐκεῖ προστάττων ἀμφότερα στρατεύματα νικῶντα, τὰ τῶν ὑπεναντίων ἡττώμενα καὶ τὸν βασιλέα εἶχεν ὁ πέπλος ταινίαν φοροῦντα νικητικῶς καὶ μετὰ πολλῆς δορυφορίας πομπεύοντα· ἔκειτο λέων θὴρ αὐτοῦ που πληγείς, ἢ ἄρκτος φωλάς, ἢ πάρδαλις δεσμῶτις, καὶ τῷ βασιλεῖ τὰ τῆς ἁγιστείας ἐκείνης ἀνέκειτο· ἀνέῳκτο δικαστήριον, ἐκεκρότητο δίκη, καὶ τὴν κρίσιν ἐκεῖ τοῦ βασιλέως ἐθαύμαζεν ἡ γραφή. Εἰ οὖν ταῦτα καλά, καὶ κόσμον ἐδόκει τοῖς βασιλεύουσι, τοσοῦτον τὰ πρότερα κρείττονα, ὅσον καὶ τὰ τῆς ταχὺ παραρρεούσης ὕλης, ὁ ἐς πολὺ διαμένων λόγος ὑπερφερέστερον. Τοῖς μὲν οὖν πάλαι[3] βασιλεῦσι καὶ αὐτοκρά- φ. 136α

[1] Ἄνω τῆς καταλήξεως ου, μ ο υ.

[2] Ἄνω τῆς προθέσεως ἀπο. π ε ρ ι . . .

[3] Ἐν τῇ ᾤᾳ, κ α ὶ μ ε τ έ π ε ι τ α.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

τορσι ταῦτα ἢ ἐκεῖνα οἱ τῶν ὑπηκόων εὔνους προσῆγον, κράτιστε βασιλεῦ· Σοὶ δέ, ὦ καὶ τὴν ὑπερφυῆ γνῶσιν ἀσύναπτε, καὶ τὴν καλλίστην γνώμην ἀσύγκριτε, καὶ ἀριστουργὲ ἀπαράμιλλε, καὶ μεγαλουργὲ ἀπαράβλητε, ὦ βασιλέων ἀγλάϊσμα, ἀρετῶν ἄγαλμα, Θεοῦ τῷ κόσμῳ μέγιστον φιλοτίμημα, Σοὶ δὲ τίς προσενέγκῃ τῶν τόσων ὑπὲρ ἡμῶν ἀγώνων, τῶν καθεκάστην μόχθων, τῆς συνεχοῦς φροντίδος, τῆς καθημέραν ἐπισυστάσεως, τῆς μερίμνης τῶν πόλεων ἁπασῶν, ἀξίαν προσαγωγήν, δῶρον ἀνάλογον, χάριν ἰσόσταθμον; Ποῦ τις κατὰ Λυσίαν εὔστομος, καθ' Ἡρόδοτον εὐφραδής, κατ' Ἰσοκράτην γλυκύς, κατὰ τὸν Θουκυδίδην δεινός; ποῦ Ξενοφῶντος ᾠδε Σειρῆνες, Θηβαῖαι λύραι, Πολέμωνος ροῖζοι; ποῦ ρήτωρ Ἀντιφῶν ὁ Ραμνούσιος, ὁ τῶν ἀριστειῶν Ἀλεξάνδρου περιηγητὴς καὶ τῶν ἐκστρατειῶν αὐτοῦ περιοδευτής, ὅπως ἂν τὰς περιφανεῖς Σου διηγήσαιντο πράξεις, μέγιστε βασιλεῦ, καὶ τὰ ὑπερφυᾶ Σου θεῖα πλεονεκτήματα; τοιούτους καὶ γὰρ ἔπρεπεν, αὐτοκράτορ κατὰ πάντα τρισευτυχές, τοὺς σοὺς εἶναι καὶ νῦν ὑμνητάς· τοιαύτας ἐχρῆν παρεῖναι γλώττας, ἵν' ἅπερ οἱ μὲν παλαιοὶ νεκρὰ τοῖς πράγμασιν ἔθεντο καὶ λόγοις, τοῦτο μόνον, λόγοις ψιλοῖς καὶ ἀνεγγύοις προέβαλον, σὺ δ' ἔμψυχα ταῦτα καὶ κινούμενα θεοπρεπῶς τοῖς ἔργοις ἀπέδειξας, λαμπρῶς ἀγορεύειν αὗται καὶ διαρρήδην δύναιντο ξύμπασαι· ἐπεὶ δ' ὁ χρόνος εἰς τὴν οἰκείαν ἔσχε τούτους ἀκμὴν καὶ δεῖξαι τοιούτους τοῖς μεθύστερον ἀπηνήνατο, ἀνάσχου πράως γλῶτταν, ὦ βασιλεῦ, ἣν οὔτε φιλοσοφία ἐτόνωσεν, οὐδ' αὖ ρητορεία ἐστόμωσε, τρόπος δ' εὔνους ἐκίνησε καὶ τολμῆσαι πάντῃ τοῖς ὑπὲρ δύναμιν | κατηνάγκασε· δέξαι λόγον φ. 136β
εὐμενῶς, ὃν ὡς πέπλον, εἰ καὶ μὴ δαιδάλεόν τινα καὶ παμποίκιλον καὶ πολλὴν ἐν ἑαυτῷ κατηγοροῦντα τὴν τέχνην, τῷ σῷ περιόπτῳ κράτει προσφέρομεν χρεὼν γὰρ τὸν ἐν τοῖς λοιποῖς μετριόφρονα, καὶ ἡμῖν προφθάνειν συγγνώμονα, οἷς μέγα πρόκειται τὸ ἐγχείρημα· καὶ γὰρ σφόδρα τῶν χαλεπῶν, εὐφημίαν ἀρετῇ βασιλέως ἀντεξετάσαι· εἰ γὰρ ὑπὲρ τὸ πᾶν ὁ Θεός, βασιλεὺς δ' εἰκὼν Θεοῦ καὶ οἷον τύπος πρὸς ἀρχέτυπον, ὑπὲρ λόγον πάντως τούτῳ καὶ τὸ ἐγκώμιον.

Τοίνυν ἀρκτέον ἐκεῖθεν, ὅθεν ἂν ὁ λόγος διαθετισθείη καλῶς. Οἱ πρὸς πόνους ἐγκωμίων ἐσχολακότες τριττήν τινα τούτοις μέθοδον, ἀπὸ τῆς τῶν παλαιῶν ἐγνώρισαν καταλήψεως· ἐκ ταύτης οὖν διιόντες καὶ οὐκ ἐξ οἰκείων λογισμῶν, ἐντέχνως ἀνύουσι τὸ κατὰ σκοπόν. Ζητοῦσι γὰρ πρῶτα μὲν γένος· ἐπὶ τῷ γένει γέννησιν· σύμβολα, τὰ μὲν πρὸ τῆς γεννήσεως, τὰ δ' ἐν αὐτῇ, καὶ μετ' αὐτὴν ἕτερα· ἀνατροφὴν ἐφεξῆς· σὺν αὐτῇ ἐπιτηδεύματα, καὶ πρὸς τούτοις πράξεις, καὶ ἄλλο πᾶν ὅπέρ τινι, ἢ φύσις ἐπέδειξεν, ἢ μάθησις κατώρθωσεν, ἢ ἄνωθεν ἡ πρόνοια ᾠκονόμησε· χωροῦσι καὶ γὰρ ἐπὶ τὸν ἐκτὸς ἄνθρωπον· περισκοποῦσι σώματος εὐφυΐαν, μερῶν ἁρμονίαν, μελῶν συμμετρίαν· τὰς τῶν ὀφρύων φιλοτιμοῦνται περιγραφάς· περιεργάζονται κάλλος ὀφθαλμῶν· ἔρευθος παρειῶν· ἄνθος χρωτός· χειρῶν δεξιότητα· ποδῶν ὠκύτητα· εἰσδύνουσι καὶ τὸν ἐντὸς καὶ νοούμενον· περιαρθροῦσι κἀκεῖνον· τοὺς διττοὺς κύκλους τῶν ἀρετῶν ὑπὸ λαμπρῷ ἡλίῳ τῷ λόγῳ περιοδεύουσι· κἂν τούτοις

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

στηρίζουσι λεπτολογοῦντες, πόσαι περίεισι τούτῳ ψυχικαὶ καὶ τίνες ἀπορρῶγες τοῦ νοῦ· πόσαι τῆς τετρακτύος, καὶ τίνες πάλιν ἐκ τούτων καὶ ἐν αὐταῖς, τὸ μεγαλοπρεπές φημι, τὸ εὐεργετικόν, τὸ φιλότιμον· τὴν περὶ ἕκαστα ἐμπειρίαν τε καὶ δεινότητα, τὴν ἐπιείκειαν, τὴν ἀγχίνοιαν, τὴν ὀρθότητα, τὴν σύνεσιν, καὶ τὰς ἄλλας ὅσας ὁ ἐκ Σταγείρας ἀπαριθμεῖν οἶδε σοφός, καὶ μετὰ τοῦτον ἕτεροι περὶ τὸ ἠθικὸν τῆς φιλοσοφίας σχολάσαντες. Ἐχρῆν οὖν κἀμέ, θεσπέσιε βασιλεῦ, νόμῳ τούτῳ στοιχοῦντα, προγόνους ἀπαριθμῆσαι τοῦ θείου Κράτους Σου, καὶ πάντες ἂν ἅπαντες μεγαλουργοὶ αὐτοκράτορες μετὰ σκήπτρων καὶ περιφανῶν τροπαίων ὑπήντησαν· σὺν τούτοις τοὺς μετὰ τὸ πρῶτον αἴτιον, αἰτίους σοι τῆς εἰς τὸ φῶς τόδε προόδου, τὸ μέγα λέγω τῶν Ρωμαίων ὄφελος, τὸν γενναιότατον στρατηγόν, τὸν δεξιώτατον βουληφόρον, τὸν ἐν πολέμοις ἐμπύριον, τὸν ἐν μάχαις πρηστήριον· τὸν σὸν πατέρα, τὸν περιφανῆ καὶ μέγαν Ἀνδρόνικον· τὴν σὴν αὖθις μητέρα, τὸν τοῦ θήλεος κόσμον, τὸ τῆς φύσεως ἄγαλμα, τὸ τῶν ἠθῶν σεμνολόγημα, τὸ τῶν χαρίτων σκήνωμα, τὸ πάσης ἀρετῆς ἐνδιαίτημα, τήν, ὃ πρὸς τοὺς ἄνδρας ὁ σὸς γενέτης τῷ τῆς ἀρετῆς ὑπερβάλλοντι, τοῦτο πρὸς τὰς γυναῖκας πάσας, αὐτὴν τὴν ἀρίστην συζυγίαν, τὴν προσφυᾶ ἕνωσιν, ὧν ἔφυς Σὺ βασιλεῦ ἐξ ἀγαθῶν ἀγαθός, ἵνα μοι εὐκαίρως ὁ τοῦ Ἀρίστωνος τὸ οἰκεῖον συγκροτήσῃ ρητόν, ἐκ γενναίων κατ᾽ ἀρετὴν γενναιότατος, ἐκ κοσμίων κοσμιώτατος, ἤ, τό γε ἀληθέστερον εἰπεῖν, ὑπερκόσμιος, ὡς ἐκ τοῦ καρποῦ μᾶλλον τὸ δένδρον τιμᾶσθαι κἀκ τοῦ ποταμοῦ τὴν πηγαίαν θαυμάζεσθαι· τοῖς ἄλλοις γὰρ ἅπασι τῶν πρωτείων τυχόντες, τὴν δευτέραν οἷς παραβάλλονταί Σοι μοῖραν εἰλήχασι μακαριστὴν ταύτην ἡττηθέντες ἧτταν, καὶ ἣν ἂν εὔξαιντο πάντες παθεῖν τεκόντων ὅσοι πρὸς τοὺς παῖδας φιλοστοργότεροι. Ἔδει σὺν τούτοις τῇ περὶ τόνδε τὸν βίον τρισολβίᾳ προόδῳ Σου, λαμπρυνθῆναι τὴν μετὰ θεοπρεπίων ξένην ἀναγορεῦσαι σύλληψιν, τὴν μετὰ θεοπέμπτων συμβόλων κύησιν, τὴν λοιπὴν τῆς βασιλείου ἀρχῆς σιωπωμένην προκήρυξιν, οὐκ ἐξ ὀνειράτων καὶ δραγμάτων ἢ ἀστρικῶν φασμάτων κατὰ τὸν Ἰακὼβ Ἰωσήφ, οὐδ᾽ ἐξ ἀμπέλου ἤδη μὲν φυείς, μᾶλλον δὲ δοξάσαι φυῆναι καὶ πᾶσαν τὴν Ἀσίαν κατακαλύψαι. Ἀστυάγης Μανδάνης καὶ Κῦρος τούτοις ἐναβρυνόντων, καὶ τὰ τοιαῦτα συνηγορούντων ἡ τοῦ Ἡροδότου Κλειὼ καὶ ἡ τοῦ Ξενοφῶντος σειρήν· ἀλλ᾽ ἐξ ὀμφῶν ἀρρήτων καὶ προρρήσεων θαυμασίων, αἳ καὶ κρεῖττον ἀνέκραζον, μείζω ἢ κατ᾽ ἀνθρώπου φύσιν καὶ βασιλεὺς μέγας τὸν τεχθησόμενον ἄνωθεν δημιουργούμενον πρὸς τήνδε τὴν παροῦσαν ἀρχήν· ἀκόλουθον ἦν εἰπεῖν καὶ οἵαν ἐκ πρώτης τριχὸς ἐδείκνυς, κράτιστε αὐτοκράτορ, μεγαλοπρέπειαν, καὶ ὡς τὸν χρόνον εἰς παῖδας τελῶν, τῷ τῆς συνέσεως ὀξυτέρῳ, τοῖς πρεσβυτέροις ἀνθημιλλῶ | τὸ τοῦ φ. 137α
ἤθους βάσιμον· τὴν μὴ κυμαινομένην νεότητα· τὴν ἐλευθέραν καὶ φιλόδωρον γνώμην, ᾗ τὴν ὑστέραν χερείαν προδιετύπου· καὶ ὅτι τὸ θέλειν προέβαινε, κἂν οὐ μετ᾽ ἴχνια[1] τούτου καὶ τὸ τῆς δυνάμεως ἔβαινε· καὶ ὡς τὸ σῶμα μὲν ἐκόσμεις

[1] Ὁ κῶδ. μετίχνια.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

γυμναστικῇ, ἵνα τοῖς ἑκουσίοις πόνοις ἐμπαρασκεύως ἔχῃς πρὸς τοὺς περὶ προαίρεσιν, τῆς δὲ ψυχῆς ἀρετῶν ἁπασῶν μελέτῃ διηνεκεῖ, ὅτι τε φύσει καὶ νόμῳ σαυτὸν ὑποτιθείς, τῷ τρὶς καὶ τετράκις μακαριστῷ βασιλεῖ, τῷ χαριτωνύμῳ δεσπότῃ, τῷ τρισευκλεεῖ αὐτοκράτορι, τῷ κατὰ γένος Σοι θείῳ, δουλοπρεπῶς ὡς οὐδέ τις ἄλλος ὑπήκουες· ὃς οἷος ἐκεῖνος βάπτειν εἰς νοῦν καί τινων ἐκ συμβόλων ἰσχνῶν ἐξωτερικῶν, ὅλον τὸν ἐντὸς ἀναλέξασθαι ἄνθρωπον, καὶ πατρὸς εὐστοργότερον σφόδρα Σε ὑπερφιλῶν ἦν, οἷα διάδοχον τῆς οὕτω πολλῆς ἀρετῆς καὶ ἐκμαγεῖον τῶν καλλίστων ἐκείνου τρόπων, ὡς δ᾽ ἐγῷμαι καὶ τῆς ἀρχῆς. Ἐντεῦθεν παιδείας μεταλαμβάνων, ἧς οὐδέ τινα ἄλλον εὕροι [1] ἄν τις ἀμείνω, τὰ μὲν ἐκ φύσεως ἐπηύξεις ἀγαθά, τὰ δ᾽ ἔξωθεν κρείττω ταῖς ἐπιμελείαις προσελάμβανες· καὶ ἃ μὲν εἶχες πρὸς ἄκρον, μελέτῃ συχνῇ κατεῖχες· ὧν δ᾽ οὐκ εἶχες τὴν ἐπιστήμην, τῷ βασιλεῖ καὶ θείῳ προσεῖχες, τῶν μὲν Σῶν βουλευμάτων φέρων ἐκεῖνον διαιτητήν, τῶν δ᾽ ἐκείνου θελημάτων, σεαυτὸν πάλιν ἐκτελεστήν, οὐδενὸς μὲν δεόμενος, ἄλλοις δ᾽ ὢν περιῆν Σοι χαριζόμενος· ἄρχων μὲν ἄλλων, τῇ δ᾽ ἐξουσίᾳ βιαίως ἥκιστα χρώμενος, περὶ δὲ τοῦ αὐτοκράτορος καὶ θείου μόνον ἀρχόμενος, ἵνα καὶ μοναρχῶν μάθῃς ἐξ ἄλλου πείρᾳ μαθὼν πρότερον, ἃ διοικήσειν [2] ἔμελλες ὕστερον· ἐχρῆν γάρ Σε, κατὰ τοὺς δεινοὺς τῆς κυβερνητικῆς, μετὰ τὴν κώπην καὶ τὴν πολλὴν τυφθεῖσαν θάλασσαν, τῇ πρύμνῃ προσεδρεῦσαι καὶ ἐπὶ τῶν οἰάκων καθίσαι καὶ οὕτως ὅλην ἐμπιστευθῆναι τὴν ναῦν· καθ᾽ εἱρμὸν ἔδει λεχθῆναι καὶ τὰς ἀναφθείσας πολλάκις τῷ φθόνῳ καμίνους τῶν πειρασμῶν, καὶ ὡς μέσον ληφθεὶς τοῦ πυρός, κρείττων ἐφάνης φλογὸς κατὰ πεντάρβην λίθον τὰς ἐμπυρίους σβέσας βολάς, ἢ μᾶλλον ἐχωνεύθης καὶ ἐκαθαρίσθης ἑπταπλασίως τῷ ἑπταδικῷ τῶν θείων χαρισμάτων ὅσα καὶ πυρὸς ἄνθρακας ψωμισθεὶς κατὰ τὸν θεῖον ἐκεῖνον προφήτην καὶ δοκίμιον τοῖς ἐν γῇ ξύμπασιν ἀνεφάνης κατὰ τὸ ψαλμῳδούμενον ἐκεῖνο πεπυρωμένον ἀργύριον· πρὸς τούτοις συμπεριλαβεῖν καὶ τὴν ἐκ τῆς ἐνδαπῆς πρὸς τὴν ἀλλοδαπήν, τὴν τῶν Σκυθο-Περσῶν λέγω χώραν, ἀποφυγήν, ἵνα κἂν τούτῳ μιμῇ τὸν βασιλέα ἐκεῖνον καὶ θεηγόρον Δαυίδ, περὶ τῷ Ἀγχοῦς φεύγοντα καὶ τῇ Σικέλᾳ [3] προσκαθήμενον, τὰς ἐκεῖ περιφανεῖς ἀριστείας Σου, τὰς ἡρωϊκὰς πράξεις καὶ ὄντως ἀρεϊκάς, δι᾽ ἃς δὴ καὶ πᾶν ὅσον ἔκκριτον καὶ νουνεχόντως ζῶν ἐν ἠπείρῳ καὶ νήσοις ταῖς καθ᾽ ἡμᾶς, τὰς γνώμας ἐκίνουν πρὸς Σέ, καὶ σὺν Σοὶ τῷ λόγῳ τῆς εὐνοίας ἐτάττοντο, καὶ λανθανούσαις εὐχαῖς τὸ στέφος Σοι συνεσκεύαζον· ὅσα δὲ καὶ Δελφικοὺς τρίποδας, ἢ δρῦς Δωδωναίας ἢ Κασταλίας πηγὴν μαντικήν, ἢ τὰ ἑαυτῶν μετασκευάζοντες στόματα, τὴν βασιλείαν Σοι προεφοίβαζον, καὶ ὅτι πρὸ τῆς χλαμύδος ἐβασίλευες καὶ αὐτοκράτωρ ἦς ὡς τοῦ ἀλογίστου μέρους, τῆς ψυχῆς, αὐτοκράτωρ, καὶ τὴν ἀρχὴν εἶχες τῇ πνευμάτων προαιρέσει καὶ πρὸ τοῦ δια-

[1] Ὁ κῶδ. εὕρῃ.

[2] Ὁ κῶδ. διηκήσειν.

[3] Σικιλάκ(;) ἐν τῇ Α΄ Βασιλειῶν.



Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

δήματος καὶ τοῦ ἐρυθροβαροῦς ὑποδήματος, καὶ τοῦ λοιποῦ ἐπισήμου βασιλικοῦ σχήματος. Ταῦτα πάντα, φιλοχριστότατε βασιλεῦ, μέγα καὶ τρανῶς ἔπρεπεν ἐκβοῆσαι, καὶ εἰς πλάτος προθεῖναι καὶ κατὰ λεπτὸν διηγήσασθαι, καὶ μακρὸν τούτοις ἐγκαλλωπίσασθαι, καὶ μὴ οὕτω ῥᾳδίως παραδραμεῖν, οἷς ἐξῆν μεγάλα εἰπεῖν, καὶ βραχυλογίᾳ στενοχωρῆσαι τὰ δέλτων ὅλων δεόμενα πρὸς περίληψιν· οὐ τῆς ἐμῆς δὲ τοῦτο δυνάμεως, ἀλλὰ τῶν τὴν γνῶσιν ἰσχυρῶν, καὶ περὶ τὸ λέγειν σφόδρα κομψῶν, οἷς κατὰ χειμάρρους οἱ τῆς ῥητορείας μορμύρουσι ποταμοί, καὶ φάκελλοι λόγων χειροπληθεῖς μακρῶν ἄτερ πόνων, ἐκ τοῦ παραυτὰ σχεδιάζοντες· ἐπείπερ οὐδ᾽ ὁ Σάγγης ῥᾳδίως ἅπασι περατός, οὐδ᾽ ἡ τοῦ Ἄτλαντος κορυφὴ τῷ βουλομένῳ βατή, οὐδ᾽ ἀκίνδυνος ὁ περὶ τὰς Σύρτεις ὑπέστρωται πλοῦς· ἐγὼ δ᾽ ἀγαπῴην ἄν, εἰ καὶ ὀλιγώτατα καὶ ὅσα περιλαβεῖν ἔχω τῶν τῆς Σῆς θεοστεφοῦς βασιλείας, διηγησαί-|μην καὶ ἐν καλῷ λιμένι καθορμισαίμην τὸ τοῦ λόγου μοι σκάφος εὐγάληνον. φ. 137β
Τοιγαροῦν πρὸς τὸν οἰκεῖον σκοπὸν ὁ λόγος ἱκέτω, καὶ ἀποδυσάσθω τὰ σκάμματα.

Ἤδη μὲν οὖν ταῖς τῆς ψυχῆς ἑκάστου ἐν ἀκμαζούσαις εὐχαῖς τὸ θεῖον ἐπένευσε, κἀντεῦθεν τὸ προσδοκώμενον ἐπεφθάκει καὶ παρέστη τὸ ἐλπιζόμενον, καὶ Σύ, αὐτάναξ θεοειδέστατε, τὸν τῆς βασιλείας ὑπερκύψας ὁρίζοντα, περὶ τὸ μέσον τοῦ παντὸς ἔστης μυρίας φωτοβόλους ἀκτῖνας, ἀρρήτους ἀποπάλλων μαρμαρυγάς, ἁλουργίδα, στέμμα καὶ πέπλον φορῶν περιπόρφυρον, ἄθλων τῶν πρὶν ἀμίσθων ἀντίδοσιν, καμάτων μακρῶν καὶ πόνων ἐκείνων τῶν νύκτωρ καὶ μεθ᾽ ἡμέραν ἀντάμειψιν· ὢ λευκῆς ἐκείνης ἡμέρας· ὢ καιρῶν εὐδαιμόνων· ὢ γλυκείας ἀκοῆς, ἣν ἐκ τῆς ἕω φέρουσα φήμη, τὴν οἰκουμένην ἅπασαν ηὔφρανεν. Ἐντεῦθεν, ὅ φασιν, ἀπὸ γραμμῆς τὰ καλά· ἔσχε καὶ γὰρ ἡ βασιλικὴ γνώμη σύνδρομον δεξιάν· εὗρεν ἡ βούλησις ἀνάλογον τὴν ἰσχύν· καὶ ἀφεθεὶς εἰς ἀέρα ὁ μεγαλοπτέρυξ προφητικὸς ἀετὸς ἔλυσεν ὀξὺ τὸ πτερόν· ἐπετάξω, θεσπέσιε βασιλεῦ, καὶ νεφέλαι παραυτίκα συνήχθησαν, ὅλον χρυσὸν τὸν πάλαι θαλαμευόμενον ὑετίζουσαι, οὐ κατὰ τὰς ξανθάς, ἃς ἡ Θηβαία χρωματίζει λύρα τοῖς οἰκείοις μέλεσι τὸ τῶν Ῥοδίων παλαιὸν σεμνολόγημα· μῦθος γὰρ ἐκεῖναι καὶ Ὀλυμπιονίκῃ τινὶ ποιητοῦ διάκενον φιλοτίμημα. Εἶπας καὶ συγκεχωσμέναι πρότερον χρυσίτιδες φλέβες ἀνεστομώθησαν· πολλοὶ Πακτωλοὶ εὐεργεσιῶν τῶν Πακτωλείων πύργων ἐξεχύθησαν· ὀξέως δὲ πάντα περισκοπήσας ὅσα καὶ σκοπόν, ὃν ἔθετο Κύριος τῷ νέῳ καὶ καθ᾽ ἡμᾶς Ἰσραήλ, ἢ καὶ ὡς λίθος ἀδάμας, λεκτέον γὰρ ἐπικαίρως ἐνθαδὶ τὰ προφητικά, τὸ διεστὼς συνῆξας μεγαλοφυῶς, τὸ ὑποσκάζον ἐστήριξας προσφυῶς, τὸ ἑστὼς ἡδραίωσας ἀρραγῶς, τὸ πεπονηκὸς ἴασω, τὸ ὑγιαῖνον ὡς μὴ λυμανθείη προεφυλάξω, ἢ μᾶλλον ἵνα λιπὼν[1] τὰ πολλὰ τὸ πᾶν ὡς ἐν τύπῳ εἰπεῖν περιλήψομαι, τὴν βασίλειον ὁλκάδα κατὰ πρύμναν βαπτιζομένην καὶ ἐκ πρώρας ἐπικλυζομένην,

---

[1] Ὁ κῶδ. λιπῶν

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

ὡς δεξιὸς Σὺ καὶ θεοπρόβλητος κυβερνήτης ἔσωσας· ἠκολούθουν ἐντεῦθεν λύσεις συμφορῶν· ἀπαλλαγαὶ δυσχερῶν, ὀφειλημάτων ἀποκοπαί· ἀδικημάτων ἀποβολαί· μεταβολαὶ δυστυχημάτων καὶ εὐεργετημάτων ὑπερβολαί· προμήθειαι πενήτων, προστασίαι δεομένων, ὀρφανῶν ἀντιλήψεις· κυβερνήσεις χρονίων συμφορῶν· ἐν δεσμωτηρίῳ λύσεις, καὶ ἄλλα πλεῖστα παρῆν τῶν καλῶν· ἃ δ' οὐ παρῆσαν, ἠλπίζοντο. Οὕτω Ρωμαῖοι ταῖς ἐλπίσι τὸ μέλλον σύμφωνον ἐκομίσαντο, ἢ μᾶλλον ἀμείνω πάσης εὐχῆς τὴν ἀπόπειραν ἔλαβον· οὕτω Σὺ βασιλεῦ, ὅσα δόσις ἀγαθὴ καὶ δώρημα τέλειον ἄνωθεν πρὸς ἡμᾶς κατέβης θεόπεμπτον· καὶ ἵνα τῷ ἱερῷ τούτῳ ρητῷ καὶ τῆς ἔξωθεν λειμωνιᾶς δρέψωμαί τι προσφυῶς, ἐκεῖνο ἂν εἴποιμι, ὃ περὶ φιλοσοφίας τῷ γεωμέτρῃ Θεοδώρῳ πάλαι ὁ τοῦ Ἀρίστωνος, τοιοῦτον ἄνωθεν καλὸν ἐν τῷ κόσμῳ οὔτ' ἀφίκετο, οὔτ' ἀφίξεται πώποτε. Τίς γάρ, ὡς Σὺ βασιλεῦ, τὴν εὐσέβειαν κράτιστος, ἢ τοῦ θειοτέρου τῆς ψυχῆς ἐστὶν εἴδους καὶ τῆς δικαιοσύνης ἔκγονος; τίς οὕτω φρόνησιν ἠκριβώσατο, καὶ τὴν ἀνδρείαν μεσότητα φόβου καὶ θράσος ἀπέδειξε, τῇ δὲ στάθμῃ τῆς Θέμιδος, καὶ τὴν γεωμετρικὴν ἀναλογίαν νενίκηκε; τίς τῶν πάλαι; ἀλλ' οὐ λάξευτρον, οὔμενουν κολακείας ὁ γραφεύς μοι κάλαμος· πρὸς δὲ τὴν ἐνοῦσάν Σοι χρηστότητα βάπτει καὶ καλλιγραφεῖ τὴν ἀλήθειαν, τὴν τοῦ ἤθους ἁρμονίαν· τοιοῦτο τὸ ὑπερφυές, τὸ σύντονον, τὸ ἀκάματον· τὴν τῶν θείων σοφίαν, τὴν τῶν ἀνθρωπίνων κατάληψιν· τὸ τῆς γνώμης ἐπιεικές· τὸ τοῦ φρονήματος ἀκριβές· τὸ ταπεινὸν ὕψου βαῖνον· τὸ ὑψηλὸν ὄγκον ἐκφεῦγον· τὸ ἐν τῷ μεγαλοπρεπεῖ μέτριον, καὶ ἐν τῷ μετρίῳ μεγαλοπρεπές· τίς οὕτω τὸν λόγον τὸν μὴ παρευδοκιμοῦντα τὴν σιωπήν, καὶ σιωπὴν τήν, ὅτε δέοι, τὸ συγκεχωρηκὸς τῷ λόγῳ παρέχουσαν; τὸ ἀπρόσιτον, οὐκ ἄνευθεν φοβερώτατον· τὸ λεοντῶδες ἐπισκύνιον, μειλιχιότητι σύγκρατον· τὴν ἐξ ἀντιφθόγγων τοιούτων εἴποι τις ἂν θαυμασίων μελῶν ἁρμονίαν, καὶ φθόγγων δίχα φρονεόντων πολυμιγῆ ἕνωσιν καὶ ξυμφόρησιν, ἐξ ὧν φαίνεταί τις ὅσα ζῶσα καὶ πνευματοκίνητος μουσική, καὶ οἷον ὄργανον θεοκρότητον. Τίς ὡς Σὺ ἀναβῆναι ἵππον ὑπὲρ ἄλλους πάντας εὐαλώτατος δεξιότητι, ἐπίσκοπα τοξεύειν ὑπὲρ Μηριόνην καὶ Πάνδαρον, πρὸς δὲ δόρατα ἄφεσιν ἀρκοῦσαν παρέχειν δεξιὰν ἑτοιμότατος ὑπὲρ τὸν Ἀχιλλέα ἐκεῖνον τὸν Ἀμελίαν, τὸν ἥρωα τῆς Ὁμηρικῆς δέλτου, θαῦμα τὸ περιλάλητον, τὸ εἶδος ἀεὶ προσφέρων οὐχ ὡς οἱ πάλαι βασιλεῖς μετὰ λαίλαπος καὶ νεφῶν καὶ ὡς πέλεκυν κόπτοντα, | ἢ ὡς πῦρ φλέγον, φ. 138α
τὰ Γραφικά, ἀλλ' ὡς δρόσον Ἀερμών, ὡς μαργαρίτην στιλπνόν, ὡς λίθον χλοάζοντα Ἰνδικόν τινα κατὰ τὸ Ἀτλαντικὸν πέλαγος καὶ τοὺς ἐξ Ἐδὲμ ποταμοὺς φερομένους. Γλῶττα, καὶ πυρὸς μένος πνέουσα, ὦ τῶν θελκτηρίων ταύτης ᾠδῶν, τῆς ξένης πειθοῦς, οὐ μὴν ἣν ἐπρέσβευσαν Δημοσθένεις, Ἑρμογένεις, Μινουκιανοὶ καὶ Κικέρωνες·[1] ὦ γλῶττα, νῦν μὲν πάντα καὶ λιγέως λέγουσα, νῦν δὲ νιφάδεσσιν ἐοικότα χειμερίῃσι, τοὺς Ὁμηρικοὺς ἐκείνους

[1] Ὁ κῶδ. Κικαίρωνες.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

δημηγόρους νῦν μὲν μιμουμένη, οἷς δ᾿ ἐν ἑκατέροις εὐδοκιμεῖ ἀμφοτέρους ὑπερελαύνουσα· ποτὲ μὲν μειλίχιον φθεγγομένη καὶ γαληνόν, οἷον οὐκ ᾖσε Σαπφώ, οὐδ᾿ Ὀρφέως λύρα καὶ τοῦ Θαμύριδος, ποτὲ δὲ βριθὺ καὶ ὄντως ἡρωϊκόν. Τίς οὕτως εὑρεῖν εὔπορον νοημάτων στιβαρότητα καὶ πυκνότητα ὡς καὶ τὸν νοῦν πάντων τῶν ἐν τοῖς ἀνακτόροις ὑπογραμματέων, καὶ ταῦτα παιδείαν τῶν πλειόνων ἐχόντων τε καὶ τριβήν, ἀδρανέστατον ἀπελέγξαι καὶ πρὸς τὴν τούτων κατάληψιν ἀπορώτατον; Τίς εἰπεῖν εὔκολον ὡς τῇ τῶν ρημάτων καθαρότητι καταβροντῆσαι πάντων τὰς ἀκοὰς καὶ πρὸς ἄμφω δέ; τίς ἱκανὸς ὡς καὶ λέγειν ἑτέροις καὶ ἅμα τὰ ὦτα ἄλλοις ὑπέχειν τοῦ ἀκροᾶσθαι, ὑποκειμένην δὲ ἔννοιαν γραφικήν, καὶ ὅσα μάργαρον ὀστράκῳ τῆς ἀσαφείας ὑποκαθημένην; τίς οὕτως ἀναπτύξαι πολύς, ἑρμηνεῦσαι ἡδύς; τίνι κέχυται τὰ τῆς καρδίας ὡς Σολομῶντι καὶ σελαγίζει τὰ τῆς φρονήσεως; τίς οὕτω καλῶς ἰδεῖν, καλλίων χρήσασθαι, τὴν φύσιν πραΰς, τὸν τρόπον εὐθύς, τὴν ψυχὴν προσηνής, εἰς εὐποιίαν ὀξύς, εἰς τιμωρίαν βραδύς, καὶ τοῖς ἀσύγγνωστα ἑπταικόσι λόγῳ τὸν θυμὸν ὑποτάττων, καὶ ὑπήκοον αὐτῷ παρέχων καὶ ὑποχείριον, τὴν ὀργὴν ἐπὶ τὰς φυσικὰς εὐνὰς ἀναπαύων, πενίᾳ ἔλεον νέμων, φθόνον δ᾿ οὐ πλούτῳ παρέχων, βασιλέα θέλων κεκλῆσθαι τῷ ὑπερβάλλοντι τῶν ἀρετῶν ἢ τῷ τῆς ψυχῆς βελτίονι, καὶ κόσμον δοῦναι τῇ βασιλείᾳ μᾶλλον ἐκ καλοκαθαγίας, ἢ παρ᾿ ἐκείνης ἐνέγκασθαι, ὅπως ἂν εἰς Σὲ αὐτὸν ἅπαντες ὅσα καὶ εἰς πρωτότυπον ἀφορῶντες συγγράφειεν εἰς ἀρετὴν ἑαυτούς; τίς ὡς Σὺ τῶν πάλαι, φιλοθεώτατε αὐτοκράτορ, τὴν νίκην οὐ θαρρῶν πλήθει στρατιωτῶν ἢ ἅρμασιν, ἢ δοράτων κράτει καὶ ἀσπίδων ἰσχύει, ἀλλὰ τῷ τῆς εὐσεβείας συνειδότι τὰ βελτίω προσδοκῶν, εὖ εἰδὼς ὡς τοῦτο εὐσέβεια τῷ ἀνθρωπίνῳ βίῳ, ὃ τρόπις ἐν νηῒ καὶ οἰκίᾳ θεμέλιον; τίνος οὕτως ἡ μορφὴ ἡλιῶσα, καὶ εἰς κάλλος ἀπεξεσμένη καὶ πολὺ κατηγοροῦσα ἐν ἑαυτῇ τὸ τῆς φύσεως φιλοτίμημα, ἣν καὶ ἰδών τις εἴποι ἂν προσφυῶς τὸ Γραφικὸν ἐκεῖνο ρητόν, ἰδοὺ ἀνὴρ ἐξ οὐρανοῦ· ὅρασις αὐτοῦ, ὡς ὅρασις χρυσοῦ· πρόσωπον ὅπερ εἰς ἀκριβῆ κύκλον περιῆξεν ἡ φύσις, καὶ ὡς ὑπὸ περίγραν γυρουμένην ἀπετόρνευσεν, ἵμερον στάζον καὶ γάνος ἄρρητον ἐφελκόμενον· ὀφθαλμοὶ στίλβοντες μετὰ τοῦ ἱλαροῦ, περιστερὰς ὀνομάσει τάχα τούτους ἡ ᾀσματίζουσα, ἀκέραια βλέποντας σὺν τῷ σώφρονι· κρηπὶς ὡς πύργος Δαυὶδ ᾠκοδομημένος ἐν θα... νὶθ χεῖρες Δαυιτικαὶ πρὸς παράταξιν θεοδίδακτοι; ἢ χρυσαῖ τορευταὶ τὸ τοῦ Σολομῶντος εἰπεῖν· χαίρω γὰρ τοῖς τοῦ βασιλέως τοῦδε ρητοῖς ἐπὶ βασιλεῖ χρώμενος μεγάλῳ, εἰρηνικῷ καὶ φρόνησιν αὐχῶντι τὴν Σολομώντειον· στέρνον εὐρύ, λεοντῶδες· γαστὴρ ἐξάντης ψόγου· ὀσφὺς κρατερά, σθένος περικειμένη καὶ τὸν ζωστῆρα περιεσφιγμένη τὸν σώφρονα· μηροὶ τοῦ δυνατοῦ ἐξωσμένοι ρομφαίαν κατὰ βαρβάρων στρεφομένην τοιούτῳ κατάλληλοι σώματι, καὶ ὡς ἐπ᾿ εὐτυχεῖ θαλάμῳ ψυχῆς θειοδεστάτης χρύσεοι κίονες, ὅ φησι Πίνδαρος. Ἀλλὰ περὶ μὲν τούτων ἅλις· ἀπορία γάρ μοι πρὸς τὴν τοσαύτην εὐπορίαν εἰσβάλλει, καὶ τόσης ὑποκειμένης ὕλης, πῦρ οὐκ ἔχω λαμπρὸν ἀνάψαι πυρσόν, οὐδ᾿ ἐπιλη-

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

πτέον ὁ ζωγράφος λόγος· ὅσον γὰρ ἱκανῶς εἶχεν, εἰ καὶ μὴ ἀκράτοις, Σε χρώμασιν ὑπεζωγράφησε βασιλεῦ· ἀπάρτι δὲ διίτω τῷ λόγῳ τὴν περιφανῆ νίκην ἐκείνην τὴν ἑῷον κλίμα καὶ δυσμικοὺς | περιφθάσασαν ὅρους καὶ ὅσον ἔθνος φ. 138 βόσκει βορρᾶς, ἣν Κύριος ἄνωθεν ἅμα τῷ τὴν τῆς σῆς ἀρχῆς καταβαλέσθαι κρηπῖδα, καὶ ταύτην συγκατεβάλετο ἀπαρχὴν ἀγαθήν, λαμπρὸν προοίμιον, πολλῶν τελεσφόρων ἀγαθῶν, καὶ συνεφώνησεν ἄρδην τῷ Ἐφραίμ, φησίν, ὁ ἐν προφήταις ἀπόστολος, καὶ ἀνέβη λύκος ἅμα τῷ λέοντι μετὰ τοῦ σοφοῦ Ἱερεμίου εἰπεῖν οὐ κατὰ τῆς Ἱερουσαλὴμ μιᾶς πόλεως καὶ μικρὸν μέρος οὔσης τῆς ὅλης τῶν Παλαιστηνῶν διοικήσεως, καὶ βραχὺ μέρος τρεφούσης τοῦ παλαιοῦ Ἰσραήλ, ἀλλὰ κατὰ πάσης γῆς ἣ τοῖς [1] Ῥωμαίων διοικεῖται θεσμοῖς.

Ἦσαν δ᾿ οὗτοι οἱ τῆς Πελοποννήσου καὶ γῆς Ἀχαιῶν καὶ Δωριέων, πάλαι κρατοῦντες τυραννικῶς, πάντες ἄτερ τῶν, οἳ τὴν διάλεκτον, τὴν δὲ προαίρεσιν οὐκ εὐπρεπῶς ῥωμαΐζουσι, τῆς τῶν Ἰταλῶν γενεᾶς, καὶ τούτων μᾶλλον, οἷς τὸ μὲν πλεῖστον παρατρώγεται τοῦ λόγου καὶ ἐς ἀποσκοπὴν κολοβοῦται τῆς προφορᾶς, αἱ δὲ χασμῳδούμεναι φιλοτιμοῦνται τῶν λέξεων, ἵν᾿ ὑπέρογκον εἴη τούτοις τὸ φθέγμα καὶ ἡ γλῶττα τῷ στόματι, ὅσα χαλκὸς ἠχῇ καὶ κύμβαλον ἀλαλάζει· εὐμήκεις, γιγαντιῶντες, τὴν ὀφρὺν γυροῦντες, καὶ ὑπὲρ πῆχυν ἐξαίροντες, ἄκροις ὄνυξι βαίνοντες, περιφρονοῦντες τὴν γῆν· οὐκ ἂν φαίης μὴ οὐκ ἐπτερῶσθαι αὐτούς· ἰσχυροὶ καὶ μεγαλογνώμονες, οὔμενουν καὶ Θεοῦ βραχίονι δυναμούμενοι· παρῳδητέον γὰρ τὸ τοῦ Ἀβδιοῦ, γαύρων ἐποχούμενοι ἵππων, μετώποις καὶ στέρνοις πολὺν προβαλλομένων χαλκόν, αἰχμοφόροι, θώραξιν ἐλατοῖς, καὶ κράνεσιν ἐκ σιδήρου πεποιημένοις σκεπόμενοι, πάντες σιδήρεοι, ὡσεὶ τὰ Χαλύβων ἐκαρποῦντο ξύμπαντα μέταλλα, ἄρτιοι πᾶσαν τὴν παρασκευήν, οἷον ταύτῃ συμπεφυκότες κατὰ τοὺς Ἀκαρνάνας μύθους τὸ πρίν, οὐκ ἄνδρες ἀλλ᾿ ἀνδριάντες σφυρήλατοι, φαινόμενοι πόρρωθεν· ἔφης ἂν μᾶλλον τούτοις ἐμπρέπειν τὴν τῶν χαλκῶν ἀνδρῶν κλῆσιν, ἢ τῷ παρ᾿ Ἡροδότῳ στρατῷ, βροντῶντες ταῖς ἀπειλαῖς, κεραυνοβολοῦντες τῷ πυρὶ τοῦ ἀκαθέκτου τούτων θυμοῦ, καὶ ὅσα λαῖλαψ ἐξαισία ἢ χαλάζης νέφος τετρυγὸς καὶ ὀλέθριον πάντα κλονῆσαι καὶ συνταράξαι, γαύρως καὶ ἀγέρωχα φρυαττόμενοι. κἀκεῖνα τάχα ὑποφωνοῦντες, ἃ καὶ διὰ τὸν Καρυστίωνα τὸ πολύσπαστον ὄργανον ὁ μηχανικὸς ἐφληνάφει Ἀρχιμήδης ἐκεῖνος ὁ Συρρακούσιος, πᾶ στῶμεν καὶ κινήσομεν τὴν γῆν· τὴν δέ γε Θετταλίας μητρόπολιν, ἣ Θέρμη πρὶν ὠνομάζετο, τῷ Θετταλῷ δὲ νίκη συμπεσοῦσα τὴν κλῆσιν μετήμειψεν, αὐτοβοεὶ παραστήσασθαι καὶ ταύτην εἰσδύναι κατὰ πρώτην κίνησιν ἐνηβρύνοντο, Χαλδαϊκοῖς ῥόμβοις, γεωμαντικοῖς μαγγανεύμασι καὶ ἀστρολογικοῖς ἀποτελέσμασι τὰ μεγάλα πεποιθότες οἱ κακοδαίμονες· καὶ ἀπέβη τούτων μέρος κἂν οὐ κατὰ τὸν ἐκείνων [2] σκοπόν, ἀλλ᾿ οἷα φιλεῖ τὸ δαι-

[1] Ὁ κῶδ. η τ ῆ ς.

[2] Ὁ κῶδ. ἐ κ ε ῖ ν ο ν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

μόνιον λοξῶς καὶ τοῖς τὰ τοιαῦτα ζητοῦσιν ἐλεεινῶς, ὡς ἔμπροσθεν ὁ λόγος σαφέστερον διηγήσεται. Καὶ οὗτοι μὲν οὕτω· τί δὲ καὶ ὁ ἐν οὐρανοῖς κατοικῶν Κύριος; οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη οὐ δου... ἔσται· ἀνέβη γὰρ καὶ ἐπὶ σὲ κράτιστε βασιλεῦ, πνεῦμα θεῖον καὶ ζῆλον ἐζήλωκας ἐκεῖνον θεοπρεπῆ καὶ παραυτίκα στρατὸν ἀντεκατέστησας τούτοις οὐκ ἀγεννῆ· Αὔσονες ὁ στρατός, Σκύθαι καὶ μοῖρά τις Περσική· στρατηγοὶ τούτων πάντες γεννάδαι· ἄνδρες Ἄρεος καὶ Θούριδος ἀλκῆς μνήμονες καὶ πρὸς πολέμων σύναψιν ἄντικρυς θυμολέοντες· τούτους Σὺ βασιλεῦ ἐξ ἕωας διὰ γραμμάτων μένεος καὶ θάρρους ἐμπίπλης, ὅλην αὐτοῖς τὴν ἀνδρείαν ἐνέπνεις· πρὸς θεὸν τὸ πᾶν ἀνατιθέναι τοῦ ἔργου μετριοφρόνως παρῄνεις· ἐνεχάραξας τούτοις ἂν μὴ τοῦ μνήμονος ἐκπεσούμενοι διέλαθεν, ἐκ τῶν παροιμιακῶν δανεισάμενος πυκτίδων καὶ ψαλμικῶν, ἃς ὡς καὶ τὰς ἄλλας πάσας βίβλους τὰς ἱερὰς παρὰ τὸ στῆθος φορεῖς ὡς οὐδεμίαν εἷς τῶν ἁπάντων οὐδείς, τό, Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· καὶ τό, οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα· ἐδίδασκες τούτοις τὴν τοῦ πολέμου παρασκευήν, τὸ τῆς παρατάξεως σχῆμα· ἐγεωμέτρεις τὰς ὑπερκερώσεις· τὰς ὑπερφαλαγγώσεις· τὰ μέτωπα· τὴν οὐραίαν πολλῷ θαυμασιώτερον εἴπερ τοῖς πάλαι χρόνοις ἐν Μαρακάνθαις ὁ Περσεὺς θρυλλεῖται | ἐκεῖνος φ. 139α ὁ Μακεδὼν ὁ τοῦ Πελλαίου Φιλίππου Ἀλέξανδρος. Ἐντεῦθεν, ἀλλ' ὢ μεγαλουργίας Θεοῦ καὶ τῆς περὶ Σέ, βασιλεῦ, θαυμαστῆς αὐτοῦ κηδεμονίας καὶ χάριτος· ὢ σχεδὸν ἀπροσδοκήτου πράγματος καὶ ἀκούσματος καὶ πρὸ τοῦ γενέσθαι τάχα μηδ' ἐλπισθέντος· καὶ τοῖς μὲν οὐδ' ἐπὶ νοῦν ἐλθόντος, τοῖς δὲ οὐδὲ δυνατοῦ νομισθέντος· τὰ τῶν Βουνῶν ὑψώματα τεταπείνωται· αἱ ἰσχυραὶ Βασανίτιδες δρῦς, αἱ ὑψηλαὶ Λιβανίτιδες κέδροι μετὰ ροίζου χαμάζε πεπτώκασι· καὶ ἵνα τὸ συνεχὲς τῆς τροπῆς παρεάσω, ἐμεθύσθησαν τὰ βέλη Ρωμαίων ἐξ αἱμάτων τραυματιῶν· μυρίαι κόρσαι Λατίνων ἀκόρσευτοι καὶ κεφαλαὶ ἀναύχενες ἔπεσον, κατὰ τὰ Ἐμπεδόκλεια τέρατα· πᾶσα ἡ ἐκεῖσε κοιλάς, ὡς κλαυθμῶνος κοιλάς, καὶ πᾶν πεδίον, ὡς πεδίον ἀφανισμοῦ, ἐπληροῦντο νεκρῶν ἀνδρῶν τε καὶ ἵππων ἀναμίξ· ὅσον δέ, πολλοὶ δὲ ἦσαν καὶ οὗτοι καὶ ἐς χιλιοστύας κεφαλαιούμενοι, τὸ στόμα τῆς ρομφαίας ἀπέφυγον σὺν τοῖς σφῶν ἄρχουσι, πάντες κλοιοῖς σιδηρέοις καὶ σφυρηλάτοις πέδαις ταῖς εἱρκταῖς τῆς περιφανοῦς Θεσσαλονίκης ἐπεστοιβάσθησαν μακρὰ κλαίοντες, ἐλεεινὰ στένοντες, καὶ τῶν ἐμβαλόντων τὸ τοῦ πολέμου σπέρμα συχνὰς ἀρὰς κατενείροντες· οὕτως οἱ ἐπιβεβηκότες τῶν ἵππων οὐκ ἐνύσταξαν, κατὰ τὴν Γραφήν, ἀλλ' ὕπνον ὕπνωσαν ἐπιτελεύτιον, μόρσιμον· οὕτω πέπτωκε λαὸς κατὰ τὸν βριαρὸν ἐκεῖνον Νεβρώδ, κατὰ τὸν γενναῖον Ἀϊνάμ, κατὰ τοὺς ἐν Γαλγάλοις βολαῖς χαλάζης τὸ ζῆν ἀποπνεύσαντας καὶ ὅσα φύλλων γενεὴ [1] καιρῷ φυλλοχόῳ παρέρρευσαν· οὕτως οἱ ἀλαλάζοντες καὶ τῷ θράσει κορυβαντιῶντες, τῷ τοῦ

[1] Ὁ κώδ. γενεῆς.

Ρωμαϊκοῦ θηράτρῳ στρατεύματος, καὶ ὑπὲρ τὸ ἐν Ἰταβυρίῳ δίκτυον ἐκβάντες, ἠγρεύθησαν· καὶ ὅσα θέρος ἄκαρπον τῷ βασιλικῷ δρεπάνῳ ἐκθερισθέντες μέχρι καλάμων καὶ ἀσταχύων ὡς ἄχνη ἐλικμήθησαν ἀπὸ ἅλωνος θερινοῦ κατὰ τὸν βλέποντα Δανιήλ, καὶ κατὰ τὸν εὐρύφωνον εἰπεῖν Ἡσαΐαν καὶ τὸν θεῖον Δαυΐδ, ὡσεὶ καπνὸς διερρύησαν ἀπὸ βορρᾶ καὶ ὡσεὶ χνοῦς ὃν ἐκρίπτει ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Τοιούτοις Σε βασιλεῦ, τροπαίοις ὁ φοβερὸς τὴν ἰσχὺν ἐλάμπρυνε Κύριος· τοιαύταις νίκαις τὴν σεβασμίαν καὶ τοῦ παντὸς ἀξίαν Σὴν κατέστεψε κορυφήν· οὕτω(ς) Σὲ ἅμα βασιλέα περίφημον ἔδειξεν, ἅμα καὶ νικητὴν περίλαμπρον· ἅμα Σε αὐτοκράτορα εὐκλεέστατον, ἅμα καὶ τροπαιοῦχον περιφανέστατον· οὕτως ἅμα τῇ Σῇ δεξιᾷ τοὺς Ρωμαίους παρέθετο, ἅμα καὶ βαρβάρους ὑψαύχενας ποσί σου τοῖς ὡραίοις ὑπέθετο. Διέξειμι τὴν ἐν τῇ Παλαιᾷ τῆς ἐξόδου Γραφήν· εὑρίσκω κἀκεῖ τὸν θεόπτην Μωσέα στρατηγὸν χειριζόμενον καὶ τὸν Ἀμαληκίτην παραυτίκα βλέπω στρατὸν βαλλόμενον καὶ πίπτοντα· ἐῶ γὰρ λέγειν τοὺς Αἰγυπτίους διώκοντας μέν, οὐ καταλαμβάνοντας δέ, καὶ τὴν Ἐρυθρὰν διαπλέοντας, εἰς Ἅδου δὲ πόντον καὶ βυθὸν Χαρώνειον μεταβαίνοντας· μετέρχομαι τὸν τοῦ Ἰησοῦ τοῦ Ναυῆ σκοπὸν καὶ τοῦτον ἅμα τῆς τοῦ Μωσέως δημαγωγίας, ἅμα καὶ τῶν ἐκείνου κατορθωμάτων διάδοχον· συνοδοιπορῶ τούτῳ παρὰ τῇ βίβλῳ μικρόν· διέρχομαι τὸν Ἰορδάνην· ἀριθμῶ τοὺς δώδεκα λίθους ἐκείνους· εἶτα τοὺς ἑπτὰ ἱερεῖς σὺν τῷ τῶν σαλπίγγων ἑπταδικῷ, καὶ κεῖνται μοι πρὸ ὀφθαλμῶν ἡ πόλις ἐκ βάθρων Ἱεριχώ· καὶ μυριάδες Ἀμορραίων καὶ Φερεζαίων πανωλεθρίαν παθοῦσαι σὺν τοῖς ἑαυτῶν στρατηγοῖς· τῇ δευτέρᾳ προσέχων τῶν Βασιλειῶν, ὁρῶ κἀκεῖ τὸν βασιλέα καὶ προφήτην Δαυὶδ τῷ δωδεκαφύλῳ τὴν τρίτην καὶ ὑστέραν ἀναγόρευσιν εὐφημούμενον καὶ παραυτίκα τροπούμενον Ἰεβησαίους, Μεναβίτας, Σύρους καὶ τὸ λοιπὸν ἑτερόφυλον· μακρὸν γὰρ τὰ τῆς προτοῦ ἀναγορεύσεως, ὡς ἅμα παρὰ τῷ Σαοὺλ εἰς βασιλέα ἐχρίσθη καὶ ἅμα τὸν γιγαντιαῖον ἐκεῖνον τῇ ποιμενικῇ σφενδόνῃ κατέβαλε Γολιάθ· λεγέτω τὸν περιφανῆ θρίαμβον ἐκεῖνον τὸν πολυάνθρωπον, ὅταν τῆς ἡμέρας ἄρτι διαγελώσης ἄχρι καὶ ἐς ἥλιον βάλλοντα τὰς ἀκτῖνας μεσημβρινὰς οἱ ἁλωθέντες δέσμιοι πάντες κατὰ ζυγάδας διήρχοντο ταῖς βασιλικαῖς πόρρωθεν ἐποφθησόμενοι ὄψεσιν· ὅτι καὶ ὁ τούτων πρίγκιψ καὶ οἱ λοιποὶ στρατηγοί τε καὶ Βαρῶνες, βαρβαριστὶ καὶ γὰρ χρηστέον τῇ λέξει, ἄχρι καὶ τριάκοντα ἀριθμούμενοι οἱ ὠγυγίαι καὶ παρήλικες καὶ πρότριτα λέοντες, ὅσα καὶ εἰς πυγμαίους ἢ **ννάνους** περισταλέντες, καὶ χαμαὶ τῷ βαδίσματι, ἐλεεινοὶ τὸ σχῆμα, τὸ βλέμμα ἐλεεινότεροι, κύμβαλον ἐνώπιόν Σου πεπτώκασι, συμπαθείας τυχεῖν ἱκετεύοντες, ἐφ' ᾧ Θεῷ καί Σοι πεπαρῳνήκασι, βασιλεῦ· ἧς καὶ πάντως ἐλπίσαντες οὐκ ἀπέτυχον· καὶ γὰρ οὐ κατὰ τὸν Μάρκον ἐκεῖνον Ἀντωνῖνον τὸν αὐτοκράτορα μέχρι Σοῦ καὶ τῶν οἰκείων ἡ ἐπιείκεια, ἀλλὰ καὶ τοῖς ἐχθροῖς ἐλεήμων | φ. 139β
καὶ νενικημένοις βαρβάροις φθάνεις συμπαθὴς καὶ φιλάνθρωπος· ὅσον καὶ γὰρ τὰ τούτων φρυάγματα οὐδὲ τὸ βραχὺ παρεσάλευσας, τοσοῦτον αἱ δυσω-

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

πήσεις σφόδρα Σε κατεμάλαξαν, ἢ μᾶλλον οὓς ὡς δρῦς ἐπαιρομένους κατέρραξας, τούτους ὡς καλάμην εὐρίπιστον ὑποκλινομένους κατῴκτειρας, κἂν οὗτοι Θεοῦ ὅρκια παρὰ φαῦλον θέντες καὶ ὡς οὐδὲν λογισάμενοι πρὸς τὴν σύντροφον αὐτοῖς ἀποστασίαν ἐχώρησαν, ἵνα τί γένηται καὶ τί πάθωσιν; ἵν' ὃν ὡς φῶς ἐγνώρισαν χάριεν, τοῦτον καὶ ὡς πῦρ καυστικὸν ἀναμάθοιεν· καὶ ὃν ὑπὲρ μέλι καὶ κηρὸν εὗρον ἡδύν, τούτου τὸν τοῦ θυμοῦ κρατῆρα, μηδὲ κεράσματος ἐπιφέροντα, πίωσιν ἔμπικρον. Ἀλλ' ὢ νίκη περιφανής, ἐπαναλαμβάνων γάρ σε πολλάκις εὐφραίνομαι· ὢ[1] νίκη οὐχ ἅρμασι καὶ δακρύοις εἰ μή τις λέγει τοῖς τῶν ἐναντίων μόνοις στεφανωθεῖσα· ὢ[2] νίκη βασιλείας ἀρχὴν μεγάλης κοσμήσασα καὶ παρ' ἐκ Θεοῦ ἄριστα κοσμηθεῖσα· ὢ[3] νίκη μεγάλη καὶ πολλῷ πλέον πρέπουσα κεκλῆσθαι μεγάλη, ἥπερ[4] ἡ ἐν Κορίνθῳ ἡ πολυθαύμαστος, λέγε μοι, Ξενοφῶν, τοιοῦτόν που κατόρθωμα Κύρου, λέγε μοι, Κοκκηιανὲ Δίων ἢ σὺ Ἡρωδιανέ, τοιαύτην νίκην τῶν πάλαι Καισάρων Αὐτοκρατόρων· φράσον, Ἀππιανέ, τοιοῦτον ἔργον Ἀννίβου· ἐνίκα καὶ Ἀλέξανδρος ἐκεῖνος ὁ Μακεδών· πλὴν τῇ οἰκείᾳ εὐβουλίᾳ ἐπετίθει τὸ μεγαλούργημα· ἠρίστευε καὶ Αὔγουστος ἐκεῖνος ὁ Σεβαστός, ἀλλὰ τῇ ἑαυτοῦ τύχῃ ἐπεγράφετο τὸ κατόρθωμα.· Τί δὲ Σὺ κράτιστε βασιλεῦ; ἆρα τοιαύτην κατορθώσας νίκην, ἀκμητὶ γεγονυῖαν, ἐτράπης ὅλος εἰς ἔπαρσιν, ἢ τοῦτο μὲν οὐχί, οὐδὲ γὰρ τὰ τοιαῦτα τοῦ Σοῦ πνεύματος, ὑπέρογκον δέ τι που ἐφθέγξω καὶ σοβαρόν; ἢ οὐδὲ τοῦτο· ἐκ δὲ τοῦ ἐναντίου, οὐ μετριώτερος ἢ τὸ πρὶν μετὰ τὴν ἀριστείαν ἐγένου καὶ ταύτην τῷ Θεῷ ἐπεγράψω; πάνυ μὲν οὖν· Σὺ βασιλεῦ, μόνος καὶ πρῶτος ἱκανὸς ποιῆσαι μεγάλα ὑπὲρ τοὺς πάλαι ποτε ὑμνουμένους, καὶ τὸ θεῖον γινώσκειν τῆς μεγαλουργίας αἴτιον· ὑπὲρ ἅπαντας Σὺ ὀξὺς τὸ πρέπον εὑρεῖν, τὸ δὲ τούτων τέλος τῷ Θεῷ ἀναθεῖναι· Σὺ παρὰ πάντας πολύς· εἰ γοῦν ὁ μὴ ἐπαιρόμενος οἷς κατορθοῖ θαυμαστός, ὁ καὶ μάλιστα τούτοις μετριοφρονῶν καὶ τῷ Θεῷ χάριτας ἀνθομολογούμενος ὅτι πολλὰ πανταχοῦ μεγαλύνῃ· οἷς δὲ τὸ πᾶν τῷ θεῷ ἀνατίθης, τούτοις παρὰ πάντων ὑπερθαυμάζῃ.

Μετὰ τὴν περιφανῆ ταύτην νίκην, εἶδέ Σε αὐτοκράτορ, καὶ ἡ Ἑλλήσποντος θάλασσα, ἣν ὁ πολὺς τῆς ἀλαζονείας, ἢ τὸν μυριάριθμον ἐκεῖνον στρατὸν Ξέρξης ὁ ἄφρων καινοτόμος ἠπείρωσε, τὴν Ἀσίαν πάλαι φέρων κατὰ τῆς Ἀττικῆς. Ταύτης ἐς τὴν ἀντιπέρας διαβὰς ὥρᾳ τῇ μετὰ τὴν φθινοπωρινήν, ὅτε καὶ ὁ φωσφόρος ὑπὸ τὸν χειμερινὸν ὑπέρχεται τροπικὸν πρὸς τὴν περιώνυμον ταύτην οὐχ ἧττον διὰ Σὲ τὸν μέγαν καὶ νέον Κωνσταντῖνον, ἢ τὸν πρῶτον ἐν χριστωνύμοις ἄναξι, κατηντήκεις Κωνσταντινούπολιν, οὐκ ἐνεγκὼν ζῶντός Σου καὶ ἐπὶ χθονὶ δερκομένοιο καὶ τὸν ἥλιον βλέποντος τὸν τῆς οἰκουμένης ὀφθαλμὸν ὑπὸ Λατίνων πηροῦσθαι καὶ μὴ ἀπαλλάξασθαι τῆς ἐπικει-

[1] Ὁ κῶδ. ὦ.
[2] Ὁμοίως ὦ ὁ κῶδ.
[3] Ὁμοίως ὦ ὁ κῶδ.
[4] Εἴπερ ὁ κῶδ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

μένης ὁμίχλης αὐτῷ· ἠγαλλιάσω τοίνυν Δαυιτικῶς δραμὼν ὡς γίγας ὡδί· ὅθεν καὶ τοῦ ἑῴου ὁρίζοντος ἀπαρξάμενος ἄχρι τῆς Ἑλλησπόντου ὅσα καὶ ἐπιστήμων γεωμέτρης, εὐ περιῆξας τὸ ἡμικύκλιον· εἶτα ἐκεῖθεν περαιωσάμενος καὶ τοῖς περὶ τὰ ἐνταῦθα ἠρέμησας βραχὺ τὸ λεῖον περιεβεβαίου τοῦ κύκλου καὶ ἔγραψας οὕτω κύκλον ὅλον ἀρτίκυκλον, τὸ κέντρον ἐπὶ τὸν τοῦ παντὸς συνοχέα καὶ δεσπότην στηρίζοντα. Ἔθελον ἐγὼ τὸν κύκλον τοῦτον τῷ οὐρανῷ ἐγγραφῆναι καὶ τοῖς ἀειφανέσιν τῶν ἀστέρων καταλεγῆναι, ἵνα τῷ παντὶ συμπαραμένῃ καὶ διηνεκῶς φέρηται ὑπὲρ τὸν εὔκυκλον ἐκεῖνον στέφανον Ἀριάδνης, ὃν μῦθος μὲν ὑπέστησε, κυλίων δ᾽ ὁ μακρὸς χρόνος τῷ ὑπερῴῳ χώρῳ βάσιμον ἔστησεν. Εἶπεν ἄν τις τῷ τότε προρρηματικῶς τῇ νέᾳ ταύτῃ Σιών, ὃ πάλαι προφητική τις μεγαληγορία τῇ παλαιᾷ· θάρσει, Σιών, ἰδοὺ ὁ βασιλεύς Σου ἔρχεταί σοι σώζων ὁμοῦ καὶ πραῢς σώζων· ἀνάσχου βραχύ· ἔτι μικρὸν καὶ τὸν τῆς δουλείας παραγκωνίσει ζυγόν· ὡς βασιλὶς τῆς νῦν ἀκοσμίας ἀποβληθήσει καὶ κόσμον ἐπενδύσει τὸν πρότερον· ὡς Ῥώμη τὸ ἀσθενὲς ἀποβαλοῦσα ἰσχὺν ἀνίκητον λήψεις ἐκ βασιλέως μεγαλουργοῦ, ὡς νέα τὸ γῆρας καὶ τὰς ῥυτίδας ἀποξύσει καὶ ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου· λαοὶ καὶ πάλιν ὑποκάτω σου πεσοῦνται καὶ ἄρξεις πλειόνων ἢ τοῖς πάλαι χρόνοις ἐθνῶν· καὶ πάλιν κληθήσει πασῶν | τῶν πόλεων ἡγεμών· ἐχέγγυον ἔχε μου τοὺς λόγους φ. 140α καὶ ὄψει τούτους ἀποβησομένους οὐκ εἰς μακρόν. Ἤθελες μὲν οὖν τῷ τότε, θειότατε ἄναξ, ὢ τὴν ψυχὴν ἀποστολικέ, ὁ καὶ ἀνάθεμα θέλων εἶναι ὑπὲρ τῶν ἀδελφῶν Σου, τῶν συγγενῶν Σου, τῶν κατὰ σάρκα τῶν Ῥωμαίων φημί, καὶ ἀπὸ μέσης ηὔχου ψυχῆς τήνδε τὴν μεγαλόπολιν τῆς τῶν τυραννούντων ἀποσπάσαι χειρός, καὶ πολλά τινα διὰ ταῦτα συνεσκευάσω κρύφα, ἀναφανδόν, ἐκ δεξιῶν, ἐξ ἀριστερῶν, διὰ δωρεῶν, ὑποσχέσεων, ἀπειλῶν, φόβων, κινδύνων ἐκ γῆς, κινδύνων ἐκ θαλάττης, δεινῶν ἑτέρων τῶν μὲν παρόντων καὶ φαινομένων, τῶν δὲ μὴ φαινομένων, ἐλπιζομένων, τὸ μὲν λιμῷ τοὺς κακούργους ἐκτήξας, τὸ δὲ στενοχωρίᾳ δαμάσας καὶ τῇ σπάνει τῶν λοιπῶν χρειωδῶν ἐκπιέσας· ἀλλ᾽ οὐκ ἐπένευσε τότε τὸ θεῖον, ἵνα τρόπον ἄλλον καινότερον καὶ θειότερον, μηδὲν ἐπιφερομένων ἀνθρωπίνης χειρὸς καὶ βουλῆς, ἄτερ ἀγώνων καὶ μόχθων στρατηγικῶν, ἄτερ πολέμων ἠπειρωτικῶν καὶ ναυμαχιῶν· ἄνευ ἑλεπόλεων καὶ ὀργάνων πάντων μηχανικῶν, ἄνευ δοράτων καὶ σαγγάρεων, ἀκμητὶ καὶ ἀναιμωτὶ τὸ τοιοῦτόν Σοι μέγα δῶρον παραδόξως φιλοτιμήσηται. Τοιγαροῦν, ἄναξ θεοειδές, ἐντεῦθεν ἀπάρας ὅτε καὶ τὰ [1] τῆς ὥρας εἰς ἔαρ παρήγγειλε, τὴν ἕω καὶ πάλιν ὡς λαμπρὸς φωσφόρος ἠκτινοβόλεις καὶ λαμπρὰς αὐτῇ τὰς μαρμαρυγὰς ἀπεδίσκευες, καὶ ὅσα ποταμὸς Θεοῦ κατὰ τὸ Ἀτλαντικὸν πελαγίζων, μυρίαις εὐεργεσιῶν πλημμύραις πάντας ἐπέκλυζες· πρὸς τοῖς ἄλλοις εἶχόν Σε, τὸ κοινὸν ἀγαθὸν καὶ οἱ τῷ Ξάνθῳ πρόσοικοι ποταμῷ· Σκάμανδρον τοῦτον Ὅμηρος καὶ οἱ μετ᾽ αὐτὸν ἄχρι τῆς σήμερον ὀνομάζουσιν. Ἐγὼ δ᾽ ἀδικοίην

[1] Ὁ κῶδ. τάς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

ἂν εἰ καὶ τολμηρὸν τὸ σὸν θεῖον κράτος θεομεγάλυντε, τὴν δίκην αὐτὴν τὸν ἐμὸν λόγον, τὸν παρόντα σύλλογον, εἰ μὴ καὶ τὰ ἐκεῖ τελεσθέντα τῷ παρόντι λογικῷ πέπλῳ συνεξυφαίνοιμι· εἰ δὲ καὶ αὐτὸς ταῦτα σιγήσαιμι πάλιν ὁ ποταμὸς οὗτος ὡς πρὶν διά τινων τῶν ἡρώων, εἰ χρὴ πιστεύειν ἀντωνομίᾳ Ὁμηρικῇ, εὐφωνότερον λαλήσει, ἢ μᾶλλον ἵνα τὸν ἁλμυρὸν τοῦτον λόγον τῷ ποτίμῳ τοῦ ψαλμῳδοῦ Δαυὶδ ἀποκλύσαιμι, ἀρεῖ φωνὰς [1] αὐτοῦ καὶ τὰ τοῦ Θεοῦ θαυμάσια διηγήσεται. Χωρείτω λοιπὸν ἐπὶ τὸν οἰκεῖον δρόμον ὁ λόγος.

Ἰάνουα, πόλις αὕτη περίπου τὸν Ἀνδρίαν κειμένη τὸ πέλαγος· περιφανὴς ἡ πόλις· ἡ πόλις μητρόπολις· ἀποικίαι γὰρ ἐντεῦθεν καθ' ἕω τε καὶ δύσιν πολυσπερεῖς. Καρποῦται τὴν κλῆσιν ἡ πόλις ἐκ τῆς τοπικῆς θέσεως· πύλην τὴν Ἰάνουαν εἴποι ἂν ὁ τῇ Ἑλλάδι διακονούμενος λεκτικῇ· ἐπείπερ ἐντεῦθεν ἡ πρὸς τὰς ἄνω καὶ κάτω Γαλλίας πρόκειται εἴσοδος· ὡς δ' ἱστορεῖ Παπίας ἐν τῷ τὸν Ἰάννον ἐκεῖσε τιμᾶσθαι τὸ πάλαι, τὸν τετραπρόσωπον, ὃν καὶ τόδε τὸ πᾶν ἔλεγον, διὰ τὴν τετραδικὴν συστοιχίαν ἢ τὸ τῆς οἰκουμένης τετράκλιμον, ἢ τὸ τοῦ χρόνου τετράωπον· οἰκοῦσι τὴν πόλιν τῆς καθόλου κλήσεως πλῆθος ἰταλικόν, ἔθεσιν ἐγχωρίοις χρώμενον, κατὰ τοὺς πάλαι Ἀθηναίους δημοκρατούμενον, εὐμήχανον τῇ ναυτιλίᾳ, καὶ διὰ τοῦτο ναυμαχικόν· τὴν ἱππικὴν δεξιόν, διὰ τοῦτο καὶ ἐν Ἠπείρῳ πολεμικόν· τρόφιμον θαλάττης, καὶ διὰ τοῦτο ἐμπορικόν. Ταύτης τῆς πόλεως οἱ κρείττους κατά τε γένος περικλεεῖς, πλούτου περιβολεῖς, καὶ τὸ τοῦ χρόνου πρεσβεῖον, δημογέροντας εἶπεν ἄν τις αὐτὸς ποιητής, μακρὰ τεμόντες πελάγη, Σὲ τὸν ἡμεδαπὸν ἐζήτουν αὐτάνακτα· ὡς δ' εὗρον, ὡς εἶδον, ὡς ὁμιλίαν ἤκουσαν γλυκυτέραν τοῦ μέλιτος, ἡδυτέραν τοῦ νέκταρος, ὡς τῆς τῶν σῶν λόγων ἀμβροσίας ἐνεφορήθησαν, ἐξεχύθη γάρ Σοι πηγαία χάρις ἐν χείλεσι καὶ φιάλαι τῶν τοῦ πνεύματος ἀρωμάτων αἱ σιαγόνες Σου, ὧν εἰς γαῖαν καὶ οὐρανὸν ἵκετο ἀϋτή, ἵνα σὺν τοῖς προφητικοῖς ρητοῖς τοῖς εὐώδεσιν ὀσφραδίοις τῆς θεοφθέγκτου Γραφῆς καί τι τῆς ἐξωτερικῆς τῷ ἐμῷ λόγῳ συμβάλω μυρεψικῶς, τοιοῖσδε Σε τοῖς λόγοις ἠμείψαντο· «φιλόστοργον πατέρα μᾶλλον ἢ βασιλέα ἡ φήμη Σε πανταχοῦ κηρύττει, κοσμοκράτορ περιφανές, εἰς εὐποιίας οὕτω ταχύν, ὡς μὴ δέεσθαι πάμπαν τοῦ νύσσοντος· εἰς κόλασιν οὕτω βραδύν, ὡς οὐδ' ἄν τις παρωθοίη τὸ κακὸν | ὁπωσοῦν προσδοκήσιμον· συνετώτερον Θεμιστοκλέους διαγορεύει Σε καὶ τῶν ἡμετέρων Σκηπίωνος καὶ Κικέρωνος· [2] ἀνδρειότερον Βρασίμου [3] καὶ τῶν ἡμῖν ὁμοφύλων Ἀννίβου καὶ Λευκούλου τοῦ Καρτεροῦ· δικαιότερον Ραδαμάνθυός τε καὶ Μίνωος καὶ τοῦ Ρωμαίου ἐκείνου Κάτωνος· εὐεργετικώτερον Κύρου καὶ τοῦ περιφανοῦς Αὐγούστου, ὃν Ὀκταβία ἐγείνατο τὴν ἐν ἑκάστῳ φιλανθρωπίαν καὶ τὴν εἰς ἅπαντας πρόνοιαν ἀπαράβλητον, καὶ ἁπλῶς μισγάγγειαν

[1] Ἀρειφωνὰς ἐν τῷ κώδ.

[2] Κικαίρωνος ἐν τῷ κώδ.

[3] Βρασίδου;

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238



Εἰκὼν τοῦ πέπλου, ἐφ' οὗ τὰ μαρτύρια τοῦ ἁγίου Λαυρεντίου.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

παντὸς καλοῦ καὶ ἀγαθοῦ θάλασσαν· ἔχοις τὸ λοιπὸν καὶ τὴν ἡμετέραν πόλιν ἀπάρτι δουλογραφημένην ὅλην τῷ Κράτει Σου· μόνον Σὲ δεσπότην καὶ βασιλέα ἀναγορεύουσαν· τῇ Σῇ δεξιᾷ ὑποκεῖσθαι φιλοῦμεν· τοῖς Σοῖς μεταφρένοις ἐπισκιάζεσθαι καὶ ταῖς σαῖς ἐπελπίζειν βουλόμεθα πτέρυξιν, ὡς ἀετοῦ μεγαλοπτέρυγος γραφικοῦ· μέχρι τοῦ νῦν τὴν δημοκρατίαν ἄριστον εἰς πολιτείαν ἡγούμεθα· κἂν τις ἡμῖν ἐπέσεισε τὸ αὐτοκρατές, ἂν ἠπείλει τὸ μόναρχον, τυραννικὸν ἐκεῖνον ἐκρίνομεν καὶ παρευθὺς θυμὸν ἐπνέομεν, τὸν σίδηρον προσεβλέπομεν, παρεβάλλομεν τὴν σπάθην τὴν δεξιάν· τοαποτοῦδε βασιλεύεσθαι προθυμούμεθα, καὶ τὴν κρείττω ταύτην ἀλλοιωθῆναι ἀλλοίωσιν· ἡμεῖς κατὰ τοὺς Ἀργοναύτας θαλαττότροφοι γάρ· ἄγγελος Σύ· καὶ ἄγγελος φωτός, ἄγγελος ἀγαθός· λοιπὸν κατεύθυνον ἡμῶν τὸν τοῦ βίου μετέπειτα πλοῦν· ἱμάτιον ἔχεις βασιλεῦ, ὃ τοῖς χρυσοῖς στήμοσι τῶν ἀγαθῶν ἐξύφανέ Σοι λαμπροπρεπῶς ὁ καὶ κρίνα ἐνδύων τὰ τοῦ ἀγροῦ· ἔνδυμα σωτηρίας, εὐφροσύνης χιτῶνα· λοιπὸν κατὰ τὸν μεγαλοφωνότατον οὕτω πως προφήτην εἰπεῖν, ἀρχηγὸς ἡμῶν γενοῦ· ἄρχειν ἀρχὴν αἰτοῦμεν τὴν κρείττω καὶ ὑψηλοτέραν, καὶ τὴν ὑπεράρχιον ἀρχὴν εἰκονίζουσαν, τῆς δημώδους καὶ χθαμαλοῦς· οὐκ ἄπο σκοποῦ τὸ τοιοῦτον ἡμῖν· ἔχοντα ἀπόρρητά τινα τῆς Μυκηναίας κόρης καὶ τοῦ Παρθενοπαίου πρὸς τοῦτ' αὐτὸ συμβάλλοντα ποιητοῦ. Κέλευσον τοίνυν ὦ αὐτοκράτορ, γενέσθαι καὶ ἐν τῷ Ἀδρίᾳ τὴν τῆς Σῆς βασιλείας ὁδὸν καὶ τὰς τρίβους τοῦ Κράτυυς Σου ἐν ὕδασι πολλοῖς· δὸς ὡς δυνατὸν Σεαυτὸν τῇ Σῇ πόλει καὶ ἡμετέρᾳ· παρηγόρησον διὰ τοῦ Σοῦ χαρακτῆρος, πέπλῳ καὶ γραφαῖς ἐγκειμένου, τὸν ταύτης διαπρύσιον ἔρωτα· μέγα τοῖς ἐρῶσι φάρμακον καὶ γεγραμμένον τὸ τοῦ ἐρωμένου πέφυκε μόρφωμα· δύναταί Σου καὶ ἡ εἰκών, ἂν ἡμῖν παρείη, πολλά· ἀμυντήριον ἔσται κατὰ τῶν ἡμετέρων ἀντιπάλων στερεόν· πάσης ἐπιβουλῆς ἀποτρόπαιον· ἔπαλξις τῇ σῇ καὶ ἡμετέρᾳ πόλει κρατερά· προπύργιον ἰσχυρόν, καὶ τεῖχος ἄντικρυς ἀδαμάντινον· κρεῖττον ἡμεῖς ἐπὶ ταύτῃ ἐγκαυχησόμεθα ἢ Ἄβαρις τῷ τόξῳ, ἢ Γύγης τῷ δακτυλίῳ ἢ Κροῖσος ἐκεῖνος ἐπὶ τῇ ἀκροπόλει τῶν Σάρδεων». Ταῦτ' ἐκεῖνοι καὶ λιγεῖς ἀγορηταὶ ῥητορεύσαντες, δεινοὶ γὰρ ἦσαν εἰπεῖν καὶ πρὸς τοῦτ' αὐτὸ γεγυμνασμένοι καὶ ἐντριβεῖς, ὅλον τὸ εὔνουν ἀφωσιώσαντο, καὶ τὰ πιστά Σοι δόντες ἐνώμοτα, διττούς τε λαβόντες πέπλους περικαλλεῖς τὴν τοῦ Σοῦ Κράτους φιλότιμον δωρεὰν καὶ τοῦ παντὸς ἀξίαν ἐκείνοις, τὴν εἰς οἶκον ἐτράπησαν διατόρῳ στόματι τὴν Σὴν ἀνευφημοῦντες χρηστότητα καὶ βασιλέα Σε οἷον οὐκ ἄλλον πανταχοῦ μεγαλοφώνως ἀνακηρύττοντες· τῶν δὲ πέπλων, δεῖ γάρ μοι τὰ περὶ τούτων καταλιπεῖν, ὁ μὲν τὴν Σὴν θειοειδῆ περιεῖχε μορφήν, οὐκ ἐκ χρυσοῦ ἤ τινος ἄλλης πολυτίμου ὕλης ἐνσκευασμένην, ἀλλ' ἐκ χρωμάτων κομμωτικῶν· τὴν γὰρ περὶ τὰ τοιαῦτα μακρὰν φιλοτιμίαν, τῷ τῶν Ἀσσυρίων ἐκείνων ἀφῆκας παίζεσθαι βασιλεῖ· τῷ δ' ἄλλῳ ἐκ χρυσοῦ πρὸς κλωστῆρα τετυραννημένου, οἱ τοῦ καλλινίκου μάρτυρος Λαυρεντίου καὶ τῶν σὺν αὐτῷ περιφανεῖς ἐνεχαράχθησαν ἀγῶνες καὶ τὰ μέχρι θανάτου διὰ Χριστὸν σκάμματα· εἶδέ τις

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

ἂν ἐκεῖ τὰς πρὸ προσώπων τυραννικῶν τῶν σοφῶν μαρτύρων παραστάσεις, τὰς γενναίας αὐτῶν ἐνστάσεις, τὰς παρὰ τῶν βασανιστῶν σκευωρουμένας τούτοις πολυειδεῖς καὶ πολυτρόπους κολάσεις· τοὺς σιδηροῦς ὄνυχας, τοὺς τροχαντῆρας, τοὺς καταπέλτας, τὸ πῦρ, τὰ ξίφη, τὰς ἁλύσεις, τὰ δεσμά, τὰς εἱρκτὰς καὶ πᾶν ἄλλο βασανιστήριον ὄργανον· ὧν ἕκαστον καὶ ἐπιστήμασι δι᾽ Ἰταλικῶν γραμμάτων ἐνεσημαίνετο· οὕτως ἔφερε θαυμασίως ὁ μέγας πάντως πέπλος ἐκεῖνος τὸ ἱερὸν τοῖς γενναίοις ἀναθῆναι μάρτυσιν οἰκονομίᾳ βασιλικῇ, ὡς ἄρα οὐ πέπλος ὁ πέπλος ἦν, ἀλλὰ βίβλος, καὶ βίβλος οὐ προσταγμάτων Θεοῦ τὸ προφητικόν, ἀλλὰ σκαμμάτων νεανικῶν | μαρτύρων Χριστοῦ· τί πρὸς τοῦτο φ. 141α
τὸ ἔργον ὁ πέπλος ἐκεῖνος, ὃν ἱστόρουν Ἀθηναῖοι τῇ πολιάδι τούτων Παλλάδι, καὶ τέχνῃ ποικιλτικῇ λαμπροῖς ἐφ᾽ ἅρμασι βάμμασιν ὧν μῦθοί τινες τῆς ἱερατείας ἱστούργηντο, γίγαντες βάλλοντες λίθους εἰς οὐρανὸν καὶ βαλλόμενος Ζεὺς ὁ νεφεληγερέτης καὶ τερπικέραυνος, κεραυνοβολῶν καὶ πληγὰς εἰσδεχόμενος, Ἀθηνᾶ τῷ πατρὶ συμμαχοῦσα καὶ μεγάλα κατὰ γιγάντων αἴρουσα τρόπαια, δαιμόνων εὑρέματα σκοτεινῶν, καὶ διανοίας ἀναπλάσματα κακοδαίμονος μεγάλα, καὶ τῆς ἀρχαιότητος συναγωνιζομένης συνιστᾶν καὶ οὐτοῦν οἷον ἀπομαχομένης τὰ ἀσύστατα καὶ ἀνύπαρκτα;

Ἑπόμενός σοι ὁ λόγος, αὐτάναξ θεοειδές, καὶ μετ᾽ ἴχνια βαίνων τὰ σά, περὶ τὸν Ἀγκυλορρόαν σπεύδων καταλαμβάνει Σε ποταμόν, ὅν φασιν οἱ περὶ ποταμῶν ἱστορήσαντες, μόνον πρὸς τὰς ἰδίας ἀναβαίνειν παλινδρομοῦντα πηγάς· ἀναβαίνων οὗτος ὁ περιώνυμος ἐκ Μαινάνδρου τοῦ τῆς Ἀναξιβίας καὶ τοῦ Κερκάφου· ὕστερον ἡ νῦν κλῆσις προσερρύη τῷ ποταμῷ· ἀσφάλειαν γὰρ ἡγούμενος τῇ ἀρχῇ, βασιλεῦ, ποριεῖν εἰ τὰ πέρατα αὐτοῦ ὀχυρώσαις, διὰ τοῦτο καὶ ἐπὶ τὴν Ἰδουμαίαν, ἐξέτεινάς Σου, ψαλμικῶς εἰπεῖν τὸ ὑπόδημα· Ἰδουμαίαν δὲ τί ἂν ἄλλο νοήσαιμεν, εἰ μὴ τὴν λέξιν πρὸς τὴν Ἑλλάδα μεταφθογγίσαιμεν λεκτικήν, καὶ γῆν αἵματος εἶναι γνωρίσομεν, ὅση περὶ τὸ Σίπυλον,[1] καὶ ὅσην ἀντιπέρας περικλύζων ὁ ποταμὸς οὗτος, σύρηται γῆν, δι᾽ οὓς Σκυθο-Πέρσαι τὸ πρὶν οὐκ οἶδ᾽ εἰ καὶ τὸν εὑρισκόμενον τῷ τότε φέροντες λίθον, ὃς σώφρων μὲν εὐφημεῖται, μανίας δ᾽ ἐστὶ γεννητικός, συχναῖς εἰργάζοντο προνομεύσεσι δεινοὺς ὀλέθρους βροτῶν; εὑρίσκει δὲ κἀκεῖ ὁ λόγος, Σὲ τὴν ἐν οἴκοις ὅτε μόνην καὶ ἐπ᾽ αὐλαίας θέρμην ἕκαστος ἐκζητεῖ, σκηναῖς αὐλιζόμενον ταῖς ἐκ λίνου, τὰς τοῦ χειμῶνος ὑπερβολὰς καὶ τὰς τῶν νιφετῶν καρτεροψύχως φέροντα προβολὰς καὶ μεγάλα ὑπὲρ τῶν Αὐσόνων ἀγωνιζόμενον, βάλλοντα εἰς ἀνόμων κεφαλὰς θάνατον, ὅ φησιν Ἀββακούμ, καὶ διακόπτοντα ἐν ἐκστάσει βαρβάρων κάρας αἱμοχαρῶν. Ἀλλ᾽ ὢ τῶν λαφύρων ἐκείνων ὧν καὶ μόνος ὁ θροῦς μεγάλην ἐνεποίει τὴν ἔκπληξιν· συμμίκτων γὰρ ἦν τῷ τότε ἀκοῦσαι φωνῶν, ἕν τι μέλος ἀποτελουσῶν δυσηχές· ἔστενον ἄνδρες ἐλεεινόν· βόες ἐμυκῶντο βαρύ· ὠδύροντο γυναῖκες· ἐμυκάζοντο αἶγες·

[1] Ἐν τῇ ᾤᾳ: ὁ νῦν καλούμενος Κουζηνᾶς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

ἔκλαιον παῖδες· ἀνέκραζον ἀμνοὶ καὶ νεόδαρτα σκύτη ἀθλίων καρήνων, ὧν οὐκ ἦν ἀριθμός, γέλως ἐφέροντο μακροῖς ἀπηωρημένα κοντοῖς· πολλοστῷ χρόνῳ δίκην τῶν πρὶν πεπραγμένων εἰσπραττόμενοι πολλαπλῆν. Τοιαύτη Σοι τῇ ἐκεῖ ἀριστείᾳ, γενναιότατε βασιλεῦ, ἣν ὁ βαθυδίνης οὑτοσὶ ποταμὸς ἐφόσον ρευσεῖται μέγα καὶ διηγήσηται. Μεταστήσας τοίνυν κἀντεῦθεν πρὸς εὐπάθειαν τὰ δυσχερῆ, τά τε σκολιὰ εἰς εὐθεῖαν μεταποιήσας καὶ τὰς τραχείας εἰς ὁδοὺς λείας μετασκευάσας, ταῖς ἐν τῷ Νυμφαίῳ, χῶρος δ' οὗτος περίπου τὴν Ἰωνίαν [1] ἐν καλῷ κείμενος, εὐχείμερος καὶ εὐθέρειος, ὕδασι κατάρρυτος, λειμῶσι κατάκοσμος καὶ τρυφαῖς παντοδαπαῖς εὐθυνούμενος, προσεπέλασας μόλις βασιλείας αὐλαῖς· τί δὲ κἀκεῖ; μῶν πρὸς ἡσυχίαν ἐτράπης καὶ πρὸς ἀνέσεις καὶ ἀνακλίσεις μακράς; Οὔμενουν· ἀλλὰ τοὺς κόπους κόποις ἠμείψω· καὶ ταῖς προτέραις ὑπὲρ τοῦ ὑπηκόου μερίμναις, καὶ δευτέροις ἄλλοις ἐπέθου, ἀεὶ πρὸς ἔργοις ἔχων τὸν λογισμόν, ἵνα τὸ μὲν λυμαῖνον ἐξορίζῃς ἅπαν, τὸ δὲ σῷζον ἀντεισάγῃς πανταχοῦ. Ἤδη δὲ καὶ ἔαρος ὥρα ἐπέστη, καὶ πάλιν πήγνυται αὐλαία καὶ ἐκ λίνου σκηναί· καὶ πάλιν ἀποδύῃ πρὸς ἀγῶνας καὶ δεύτερα σκάμματα ὁ ἀκάμας καὶ γενναιότατος ἀθλητής.

Ἔμελλε μὲν οὖν ὁ λόγος, ὦ βασιλεῦ, καὶ τούτοις μικρὸν ἐνασχολάσαι κἀντεῦθεν ὡς δυνατὸν τὸν ἔπαινον ἐρανίσαι Σοι· ἀλλὰ θάλασσά τις ὑψηλῶν πράξεων εὑρίσκεταί μοι μεγάλη καὶ μέγα κῦμα κυλίνδει κατὰ τὴν ποίησιν, τὰ τῆς περιωνύμου λέγω τῆς δε καὶ βασιλικωτάτης τῶν πόλεων. ὤ [2] μεγάλης τοῦ Θεοῦ δωρεᾶς· ὤ [3] χάριτος ὑπερφυοῦς πάντα νικώσης λόγον καὶ νοῦν, καὶ τὰ τῆς οἰκουμένης πέρατα τῆς φήμης διαδραμούσης καὶ μέχρι καὶ ἐς αὐτὸν εἰπεῖν φθασάσης Ὠρίωνα, ἐκ δεσμῶν δουλείας ἐλευθερίαν, καὶ ἐκ χειρὸς καὶ γνώμης τυραννικωτάτης ἀνάκλησιν· πλέειν οὖν ἐς τοσοῦτον πέλαγος τό γε νῦν μὴ δυνάμενος, πρὸς τοὺς ἀκυμάντους λιμένας [4] | καὶ τὰ τῆσδε τῆς μεγάλης φ. 141β
περιηγήσομαι πόλεως, τοῦ Θεοῦ διδόντος ἰσχύν, οὗ ἡ δύναμις ἐν ἀσθενείᾳ τελειοῦται κατὰ τὸν θεῖον Ἀπόστολον, ὃς ρώννυσι τὰ ἀσθενῆ, συνέχει τὰ ἀδρανῆ, ἀνέχει τὰ ταπεινά, εὐκολαίνει τὰ δυσχερῆ, καὶ τὰ παρ' ἀνθρώποις ἀνέφικτα, ὡς παντοδύναμος τελειοῖ. Ἀλλ' ὦ κράτιστε, θεοειδέστατε καὶ νικητικώτατε βασιλεῦ, καὶ ὅσον πρὸς ἀνθρώπους ἀσύγκριτε, ἂν μή τις τοῖς οὐρανίοις νόοις συμπαραβάλῃ Σε, ὧν τὴν κλῆσιν φέρεις ἁρμοδίως ἐπίκλησιν, δέξαι λιπαρῶ τὸν παρόντα τοῦ λόγου μοι πέπλον, χριστομίμητε, εὐμενῶς, ὃν καὶ μὴ τεχνικῶς τέως εὐνοϊκῶς ἐξυφάνας προσφέρω τῷ Κράτει Σου τολμηρῶς· δέξαι φόρον ὃν εὐγνωμόνως ἀποτιννύω, εἰ καὶ μὴ κατὰ χρυσὸν ἄροιζόν τι κροτεῖ, ἀλλ' ὑπόχαλκόν τι καὶ βραγχῶδες ἠχεῖ. ἡλίκοις [5] δὲ εἰ καὶ ὀλίγα τῶν

[1] Ἠ ω ν ί α ν ὁ κῶδ.
[2] Ὁ κῶδ. ὦ.
[3] Ὁμοίως ὦ ὁ κῶδ.
[4] Προσθήκη διὰ τῆς ἰδίας χειρὸς «ἴσως, διελεύσομαι πλοῦν».
[5] Ἐν τῷ κώδ. ἱ λ ή κ ο ι ς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238

σῶν πολλῶν καὶ τὴν ἀπειρίαν οὐκ ἀναβαλλομένων κατορθωμάτων ἐπιλεξάμενος, οὐδὲ ταῦτα ὑψηλῶς καὶ μεγαληγόρως διηγησάμην, ἀλλ' ἐν σμικρῷ περιέλαβον· οὐ γάρ, εἰ ὁ λόγος βραχύς, ἤδη κἀκεῖνα ἐλαττονοῖ· οὐδ' αὖ, εἰ οὗτος χαμαὶ βαίνει, καὶ ταῦτα συγκαταφέρει· οὔμενουν· καὶ γὰρ καὶ ὁ οὐρανὸς μέγας καὶ ὑψηλός· ἀλλ' εἰ σφαῖράν τινα τοῖς μαθητιῶσι, λόγοις περιγυροῦται λεπτοῖς καὶ ᾧδε κἀκεῖσε περιφορεῖται ὥσπέρ τι κοῦφον πτερόν, καὶ οὐ διὰ τοῦτο σμικρός· πλατεῖα ἡ γῆ καὶ εὐρύχωρος· ἀλλὰ βραχυμέτρῳ διφθέρᾳ ταύτην ἐγκαταγράφουσιν οἱ δέλτους περιοδεύοντες γεωγράφων καὶ περιηγητῶν, ἀλλ' οὐ διὰ τοῦτο στενή· ἡλίκος ὁ ἥλιος· ἀλλ' ἐν εὐγράπτῳ πυραμοειδεῖ τινι σχήματι τὸν τηλικοῦτον περιστέλλουσιν οἱ γραφεῖς, καὶ οὐκ ἐντεῦθεν βραχύς.

Ζῆθι τοιγαροῦν βασιλεῦ, εἰς χρόνων περιόδους μακρῶν· συμμετροῖντο εἰ δυνατὸν αἱ ἡμέραι Σου ταῖς ἡμέραις τοῦ οὐρανοῦ καὶ φυτηκόμει τὴν ἄμπελον ταύτην, τὴν τῶν Ῥωμαίων ἀρχήν, ὡς δεξιὸς τῆς βασιλείας μελεδών, καὶ βάλε τὰ κλήματα αὐτῆς ἕως θαλάττης καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς· συναίροιτό Σου τῶν ὑπὲρ ἡμῶν ἀγώνων καὶ μόχθων πολυετῶν, καὶ ὁ ἐμὸς δεσπότης καὶ βασιλεύς, ὁ Σὸς λεοντιδεύς, σκύμνος· ἡ μεγάλη μετὰ Θεόν, μετὰ Σέ, τῶν Ρωμαίων ἐλπίς, τὸ τῆς φύσεως κάλλος, τὸ τῶν χαρίτων ἔρνος καὶ ὁ μέγας ἐν νεαζούσῃ καὶ βραχείᾳ τῇ ἡλικίᾳ καὶ πολὺς ἄνθρωπος καὶ συνάρξοιτε τῆς κοσμικῆς τετραμερείας, καὶ ὅρος γένοιτο τῆς Ὑμετέρας ἀρχῆς πάντα τὰ πέρατα τῆς γῆς. Ναί, βασιλεῦ, ἔντειναι καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, καθὼς που ψάλλει Δαυῒδ ὁ θεοπάτωρ, ὁ προφήτης καὶ βασιλεύς.

Ἐν Κωνσταντινουπόλει, μηνὶ Αὐγούστῳ 1926.

Ξ. Α. ΣΙΔΕΡΙΔΗΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/07/2024 17:39:55 EEST - 3.142.172.238